# ΒΥΖΑΝΤΙΑΚΑ ΕΓΓΡΑΦΑ ΤΗΣ ΕΝ ΑΘΩ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΟΥ ΒΑΤΟΠΕΔΙΟΥ[1]

## 8.

**Ἀντίγραφον σημειώματος τοῦ ἐπισκόπου Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους Θεοφίλου ἐπὶ κτηματικῆς διενέξεως τῆς μονῆς τοῦ Βατοπεδίου πρὸς τοὺς κατοίκους τοῦ χωρίου Ἱερισσοῦ.**

*Ἔτους (6688) 1180, ἰνδ. ιγ΄.*

Ἐπὶ μεμβράνης διαστάσεων 0,68×0,53, καταγεγραμμένης ὑπ᾿ ἀριθ. 1 φ. ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς.

Ἐπὶ τοῦ ὄπισθεν τῆς μεμβράνης κεῖται ἐπικύρωσις τοῦ σημειώματος τοῦ ἐπισκόπου Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους ὑπὸ τοῦ δουκὸς Θεσσαλονίκης Ἀλεξίου τοῦ Πηγονίτου.

Ἐν τῇ ἐκδόσει διακρίνομεν τὰ κείμενα τῶν δύο τῆς μεμβράνης ὄψεων διὰ τῶν στοιχείων Α καὶ Β.

### Α΄.

† Τινὲς τῶν ἐν τῇ τῆς Ἱερισσοῦ πόλει κατοικούντ(ων), ἐνέβλεψαν τῇ τῆς ἱερ(ᾶς) μονῆς τοῦ Βατοπεδί(ου) χωραφιέα γῇ, καὶ ὅθ(εν) καὶ τοὺς κειμέν(ους) ὅρους ὑπερβεβηκότες τῶν κατὰ τὸ Ἐλαδιάβα τοπί(ων) | (καὶ) χωραφίων, βίᾳ κατεῖχον αὐτὰ καὶ ἐκαρποῦντο. Ὁ γοῦν πανοσιώτ(α)τ(ος) καθηγούμ(εν)ος, ὁ τῆς ἱερᾶς μο(νῆς) τοῦ Βατοπεδ(ίου), μὴ φέρων τὴν τοιαύτην ζημίαν καὶ ἀδικίαν, ἀνέδραμε πρὸς τὸν μεγα|λειότατον καὶ μεγαλυπέροχον δοῦκα Θεσσαλονίκης κὺρ Ἀλέξιον σεβαστὸν τὸν Πηγονιτ(ην), τὴν παρὰ τῶν Ἱερισσιωτῶν ἣν ἔπασχεν ἀδικίαν ἀποκλαυσόμενος· πρὸς ὃν | καὶ παραγενόμενος οἰκτροτάτοις φωναῖς ἐξελιπάρει καὶ συνεσχέσ(ι) δεήσεσι, τὴν

1. *τῇ . . . τῇ . . . χωραφιαίᾳ γῇ . . . ὅρους . . .* 2. *βίᾳ* 3. *Πηγονίτ(ην).* 4. *οἰκτροτάταις . . . συνεχέσ(ι)*

[1] Ὅρα Ἐπετηρίδος Ἑταιρ. Βυζαντ. Σπουδῶν ἔτος Γ΄ σελ. 114 ἑξ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

διαρπαγὴν τῶν ἀφαιρεθέντων ἐκ τῆς τοῦ Ἐλαδιάβατος τοποθεσί(ας) τοπίων ἱκανωθῆ(ναι)· | ἐν τούτοις γὰρ καὶ μόνοις παρὰ τῶν Ἰερισσιωτῶν ἠδίκητο· ὡς τά γε ἐπίλοιπα τοπία, τὰ κλασματισθέντα ἀπὸ τῆς μονῆς τοῦ Σισόη καὶ τῆς ἁγιωτ(ά)της ἐπισκοπ(ῆς) Ἱερισσοῦ, καὶ τῇ τοῦ | Βατοπεδί(ου) μονῇ ἀνασωθεντα τῆς ἀνταλλαγῆς ἕνεκα, ὡς μὴ ἐξαρκέσασαν τὴν γῆν τὴν ἐν τῇ τοποθεσία τοῦ Ἐλαδιάβατος εἰς ἀντισήκοσιν τοῦ δεδηλωμένου προαστίου, κατεῖχε τὲ καὶ ἐνέ|μετο ἔκτοτε, ἀπὸ τοῦ καιροῦ δηλονοτ(ι) (καὶ) μεχρι τοῦ νῦν· οὗ ταῖς δεήσεσι ἐπικλινὴς γενομένη ἡ τούτου μεγαλειοτ(ης) τὸν μεγαλοδοξῶτ(α)τ(ον) κὺρ Γεώργι(ον) τὸν Δουκόπουλ(ον) ἐξαπέσταλκε, κατὰ | τόπους ἐπιστῆναι, ἀκριβῆ τε διάγνωσιν θέσθαι τῶν ἀμφιβαλομ(ένων) τοπί(ων), καὶ τῇ μονῇ ἀποδοῦναι τὸ οἰκεῖον ἀκολοβοτον· ὃς ἐπιστὰς καὶ μεθ᾽ ἑαυτοῦ συμπαραλαβὼν | τούς τε εὐγενεστάτ(ους) κληρικοὺς καὶ τοὺς τῆς πολίχνης Ἱερισσοῦ προέχοντας, ἀναμέτρησιν ἐποιήσατο διὰ σχοινισμοῦ καὶ τοπικῆς μαρτυρί(ας) καὶ ἀκριβοὺς διασκέψεως (καὶ) σωματικ(ῆς) | παραδόσεως τῶν πολαχῶς ῥηθέντ(ων) τῆς τοῦ Ἐλαδιάβα τοποθεσί(ας) τοπί(ων), παρουσιασάσης καὶ τῆς ἡμετέρ(ας) μετριότ(η)τ(ος) (καὶ) μιᾶς γενομ(ένης) τῶν συνηλεγμ(ένων) ἐπὶ τῇ διαγνώσει τῶν ἐπικρινόντ(ων) | (καὶ) διαγνωσάντ(ων) τὴν τῆς ἀληθείας ἐξέτασιν, (καὶ) τὴν πράξιν τοῦ μεγαλαδοξωτ(ά)του Δουκοπούλου ἐπαποδεχομένης, ὡς μὲν ἀληθῆ, ὡς δὲ πάσης δικαιοσύνης ἀνάμεστον· οὕτω τούτ(ων) | ἐχόντων ἑτέρα τὶς πρόσταξις ἔγγραφος μετ᾽ οὐ πολύ, τοῦ μεγαλυπερόχου δουκὸς Θεσσαλονί(κης) ἐπεδόθη μοι ἔχουσα ἐπὶ λέξεων οὕτω· παναγιώτ(α)τ(ε) δέσποτα καὶ κατὰ θ(εὸ)ν ἀγαπητέ μοι | αὐθέντα καὶ π(άτ)ερ· ἐλπίζω εἰς τὸν θ(εὸ)ν ἵνα ὑγιαίνει ἡ ἁγιωσύνη σου καὶ ἐπὶ πᾶσιν ἔχοι καλῶς· καὶ ἡμεῖς ὑγιῶς καὶ καλὸς ἔχομεν χάριτι θ(εο)ῦ καὶ ταῖς σαῖς ἁγίαις εὐχαῖς· | οἶδεν ἡ ἁγιωσύνη σου τὸ πῶς ἐγράψαμ(εν) πρὸς τὸν Δουκόπουλ(ον), ἵνα παρούσης καὶ τῆς ἁγιωσύνης σου

6. *μονῇ ἀνασωθέντα ... τῇ τοποθεσίᾳ ... ἀντισήκωσιν ... κατεῖχέ τε* 7. *δηλονότ(ι) ... μέχρι ... μεγαλειότ(ης) ... μεγαλοδοξότ(α)τ(ον) ...* 8. *ἀμφιβαλλομ(ένων) ... τῇ μονῇ ... ἀκολόβωτον* 9. *ἀκριβοῦς* 10. *πολλαχῶς ... συνειλεγμ(ένων) ... τῇ.* 11. *πρᾶξιν ... μεγαλοδοξοτ(ά)του.* 12. *ἑτέρα τις* 13. *ὑγιαίνῃ ... ἔχῃ ... καλῶς*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

ἀπαρτισθῇ ἡ ὑπόθεσις, ἣν ἔχουσιν οἱ τῆς μονῆς τοῦ Βατοπεδ(ίου) μοναχοὶ μετὰ τ(ῶν) | Ἱερισσιωτῶν περὶ τῆς χωραφιαίας γῆς, ἧς ἠδικοῦντο παρ᾽ αὐτῶν, καθὼς τὸ ἔγγραφον αὐτῶν δικαίωμα διαλαμβάνει· ἐπεὶ οὖν ἀνεμάθομεν ὅπως παρεγένετο ἡ ἁγιω|σύνη σου ἐκεῖσε κατὰ τοὺς τόπ(ους) καὶ ἐθεάσατο καὶ διέγνω καὶ ἀπεφήνατο τὴν τοῦ δικαίου ἀπόφασ(ιν), παραδηλοῦμεν αὐτῇ ἵνα ποιήσ(ῃ) καὶ τὰ περὶ τούτου δῆλα διασημειώματος | ἐνύπογράφου παρ᾽ αὐτ(ῆς), τοῦ κατέχεσθαι τοῦτο παρὰ τῆς ῥηθήσης μο(νῆς) εἰς ἀσφάλειαν τὴν εἰς τὸ ἑξῆς· μετὰ γοῦν τὸ ὑπογραφῆναι τοῦτο παρὰ τῆς ἁγιωσύνης σου, μέλομεν καὶ ἡμ(εῖς) | ὑπογράψαι τοῦτο, διὰ περισσοτέραν ἀσφάλειαν· ὁ θ(εὸ)ς ποιήσει τὴν ἁγιωσύνην σου πολυχρόνιον. Τοίνυν ἡ μετριότ(ης) ἡμῶν τὴν δουκικ(ὴν) ταύτην πρόσταξιν δικαίαν | οὖσαν καὶ εὔλογον διακρίνασα, τὸν παρευρεθέντα περιορισμὸν τῶν ῥηθέντ(ων) χωραφί(ων) διασαφοῖ, ἀναμέτρησιν μὲν καὶ σχοινισμὸν τὸν ἐν τῶ παλαιωτάτω τῆς ἀνταλλαγῆς | ἀναντιρρήτω δικαιώματ(ι) ἀκριβῶς διασώζοντα, συνόροις (δὲ) καὶ γνωρίσμασιν ἀριδηλοτέροις διαλαμβάνοντα· ἔχει δὲ οὕτως· ἀρχόμενος ἀπὸ τοῦ σύνεγγυς τοῦ | αἰγιαλοῦ ῥύακος τοῦ ἐπιλεγομ(έν)ου Λινοβροχίου τοῦ Μελησινοῦ, (καὶ) ἀνέρχετ(αι) διὰ τοῦ αὐτοῦ ῥύακος μέχρ(ι) τῶν δικαίων τῆς γῆς τῆς ἁγιωτ(ά)τ(ης) ἐπισκοπ(ῆς) Ἱερισσοῦ, (καὶ) τῆς μίξεως τῶν ἐκεῖσε | δύο ῥυακίων σχοιν(ία) μέ, καταλιμπάνων δεξιᾶ τὴν γῆν τῆς ἁγιωτάτης ἐπισκοπ(ῆς)· ἐῶν δεξιᾶ τὴν γῆν τῶν ἐποίκων χωρίου τῆς Ἱερισσοῦ, κακεῖθεν στρέφει πρὸς νῶτον | (καὶ) ἀνέρχεται ὀλίγον μέχρι (καὶ) τοῦ παλαιοῦ τείχους σχοι(νία) ζ', κατέρχεται διὰ τοῦ αὐτοῦ τείχους καὶ ἑνοῦται τὸν παλαιὸν πῦργον σχοι(νία) ιβ', καταλιμπά-ν(ων) δεξιᾶ τὴν γῆν τῆς ἁγιωτάτ(ης) | ἐπισκοπῆς, (καὶ) προσεγγίζει εἰς τὴν δημοσίαν ὁδὸν σύνεγγυς τῶν δικαί(ων) τῆς γῆς τῆς σε(βασμίας) μον(ῆς) τῶν Ἰβήρ(ων)· διέρχετ(αι) (δὲ) μέσον τῆς αὐτῆς ὁδοῦ, (καὶ) καταντᾶ εἰς τὴν ἱσταμένην πέτραν | πλησίον τῆς τοιαύτης

14. *ἀπαρτισθῇ* 16. *αὐτῇ . . . διὰ σημειώματος* 17. *ἐνυπογράφου . . . ῥηθείσης* 17. *ἑξῆς . . . μέλλομεν* 18. *ποιήσοι* 19. *διασαφεῖ . . . τῷ παλαιοτάτῳ* 20. *ἀναντιρρήτῳ . . . διασῴζοντα* 21. *Λινοβροχείου . . . Μελισσηνοῦ·* 22. *δεξιᾷ* 22. *ἐῶν δεξιὰ . . . κἀκεῖθεν νότον.* 23. *πύργον* 24. *καταντᾷ* 25. *κάτωθ(εν).* 26. *καταντᾷ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

ὁδοῦ· εἶτα τέμνει τὴν αὐτὴν ὁδὸν διαχωρίζων δεξιὰ τὴν γῆν τῆς τοιαύτης σε(βασμίας) μονῆς τῶν Ἰβήρ(ων), καὶ ἀκουμβίζει εἰς τὸ κάτοθ(εν) ῥυάκιον σχοι(νία) ια΄· | κλίνει μικρὸν (καὶ) διέρχεται διὰ τοῦ αὐτοῦ ῥυακίου, ἔτι (δὲ) καὶ τοῦ ἑτέρου συνόρου τῆς γῆς τῆς εἰρημένης σε(βασμίας) μονῆς τῶν Ἰβήρ(ων), (καὶ) καταντᾶ μέχρι καὶ τοῦ συνόρου τῆς γῆς τ(ῆς) | τῶν Σέρβων σεβασμίας μον(ῆς) σχοι(νία) κε΄, ἐν ὧ καὶ πέτρα τετράγονος ἵστατ(αι), κακεῖθεν ἀνέρχεται πρὸς ἀνατολὰς διὰ τῆς τοιαύτ(ης) γῆς τῆς σε(βασμίας) μονῆς τῶν Σέρβ(ων) καὶ προσεγγίζει εἰς τὸ | παλαιὸν τεῖχος σχοι(νία) ε΄· διαβαίνων δὲ τὸ ἱστάμ(εν)ον κιόνιον, (καὶ) μετ᾽ ὀλίγα τὸ ἕτερον σύνορον, τὰς δύο πηγνυμέν(ας) ὁμοῦ πέτρ(ας), σχοι(νία) θ΄· κατέρχεται διὰ τῆς ἐκεῖσε ῥαχίας καὶ ἀκου|μβίζει εἰς τὴν ἱσταμένην πέτραν, πλησίον καὶ σύνεγγυς τῆς γῆς τῆς σε(βασμίας) μονῆς τοῦ Ζωγράφου σχοι(νία) ι΄· εἶτα στρέφει πρὸς βορὰν, καταλιμπάνων δεξιὰ τὴν γῆν τῆς τοιαύτ(ης) σε(βασμίας) | μονῆς τοῦ Ζωγράφου, (καὶ) ἑνοῦτ(αι) τὴν ὁδὸν τὴν ἀπὸ τῆς Ἱερισσοῦ ἐρχομ(έν)ην, ἔτι (δὲ) καὶ τὴν ἑτέραν ὁδὸν τὴν εἰς τὸν αἰγιαλὸν ἀπάγουσαν· ἔπειτα διαπερᾶ τὰς τοιαύτας ὁδοὺς καὶ δι|έρχεται ὀλίγον μέσον τῆς ἑτέρας ὁδοῦ τῆς ἀπερχομ(έν)ης εἰς τὸν πύργον τοῦ Ἐλαδιάβατος σχοι(νία) ιδ΄· μέχρ(ι) καὶ τῆς ἀποδόσεως τῆς γῆς τῆς σε(βασμίας) δηλονοτι μο(νῆς) τοῦ Ζωγράφου. Εἶτα στρέ|φει πρὸς νῶτον, ὡς γονίαν ποιῶν, (καὶ) καταντᾶ πλησίον τῆς ἄνωθεν εἰρημένης ὁδοῦ τῆς εἰς τὸν αἰγιαλὸν ἀπαγούσης μέχρι καὶ τῆς ἐκεῖσε γῆς τῆς ἁγιωτάτ(ης) ἐπισκοπῆς | Ἱερισσοῦ σχοι(νία) ς΄· κλίνει καὶ αὖθις πρὸς βορὰν καὶ διέρχ(ε)τ(αι) τὰ ἶσα τοῦ αἰγιαλοῦ μέχρι καὶ τοῦ ῥύακος τοῦ καλουμένου ποταμοῦ τῆς ἁλικῆς, ἔνθα καὶ παλαιὸν ὁρᾶται θεμέλιον | σχοι(νία) κζ΄· στρέφει πρὸς τὸ ἀριστερὸν μέρος (καὶ) διέρχεται διὰ τοῦ αἰγιαλοῦ, μέχρις ἂν ἀποδώσει εἰς τὸν διαλειφθέντα ῥύακα, τὸν ἐπονομαζόμενον Λινοβροχίον τοῦ Μελισηνοῦ | ἔνθα καὶ τὴν ἀρχὴν εἴληφεν σχοι(νία) μέ. Οὕτω τοιγαροῦν κατὰ μὲν τὴν τοῦ ἰσχυρο-

27. *ἐν ᾧ . . . τετράγωνος . . . κἀκεῖθεν.* 29. *βορρᾶν . . .* 30. *αἰγιαλὸν . . . διαπερᾶ* 31. *δηλονότι* 32. *νότον . . . γωνίαν . . . καταντᾷ αἰγιαλόν.* 33. *βορρᾶν . . . ἴσα . . . αἰγιαλοῦ* 34. *αἰγιαλοῦ . . . ἀποδώσῃ (;) . . . διαληφθέντα . . . Λινοβροχεῖον . . . Μελισσηνοῦ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

τάτου καὶ ἀναντηρρήτ(ου) δικαιώματος περίληψιν (καὶ) τῶν ἐμπεριεχομένων τούτω συνόρων, ἀκρι|βεστάτην ἀναθεώρησιν τῆς εἰρημένης γῆς τῆς διαφερούσης τῆ μονῆ ποιησάμ(εν)ος, συνόροις τε καὶ γνωρίσμασιν ἀριδηλωτέροις ταύτην διαλαβόντες, (καὶ) τῆ μονῆ τὸ | οἰκεῖον παραδεδοκότες τῶ παρόντι ἡμετέρω σημειώματι διαλαμβάνομεν, ὅπερ τῆ τοῦ Βατοπεδίου θεία βασιλικῆ μονῆ ἐσεῖται εἰς ἀποτροπὴν τῶν Ἐρισσιωτῶν, ἐποίκων | καὶ παντὸς ἑτέρου προσώπου ἀδικεῖν ἐπιχειροῦντος τῆ μονῆ ἐπὶ τῆ τοιαύτη γῆ τῆς τοῦ Ἐλαδιάβατος τοποθεσί(ας), καθέξει τὴν περιορισθεῖσ(αν) γῆν ἀκωλόβωτον ἀπάρτ(ι) καὶ εἰς | τοὺς ἑξῆς ἅπαντες ἐνιαυτούς, κατὰ τὴν ἀκριβὴν δήλωσιν τοῦ δικαιώματος, (καὶ) τὴν τοῦ δικαίου ἀπόφασ(ιν) δεσποτικῶς, αὐθεντῶς, κυρίως καὶ ἀναποσπάστως μὴ παρά τινος | διασιομένη ἢ ἐπιρεαζομένη καθὰ δὴ κατέχη καὶ τὴν συμπεριελθοῦσ(αν) αὐτὴν γῆν ἀπὸ [τῆς] τῆς ἀνταλλαγῆς, τῆς τοῖς δικαίοις διήλειπται τῶν σεβασμίων μονῶν τῶν | Ἰβήρ(ων) καὶ τοῦ Ξηροποτάμου, συνομορροῦσαν. Διὰ τοῦτο ἀρ τό δε τὸ σημείωμα γεγονός, ἐπεδόθη τῆ μονῆ κατὰ τὴν δουκικὴν πρόσταξιν, εἰς ἀσφάλειαν αἰωνίζουσαν | τοῖς ἀνωτέρω δηλουμένοις:—|

† Ὁ ταπεινὸς ἐπίσκοπος Ἱερισσοῦ (καὶ) ἁγίου Ὄρους Θεόφιλος:

## Β΄.

Ἔτους, ͵ϛχπη΄ ἰν(δικτιῶνος) ιγ΄· παρῶντος τοῦ πανυδοξωτ(ά)τ(ου) | (κυροῦ) Μιχαὴλ τοῦ Λάσκαρι, τοῦ πανσε(βάστου) (κυροῦ) Νικολάου | τοῦ Καμπανοῦ· τοῦ μ(ε)γ(α)λυπερόχ(ου) (κυροῦ) Νικολ(άου) τοῦ Βρεντησιώτου | τῶν μεγ(α)λ(ο)δοξωτ(ά)τ(ων) ἀρχόντ(ων) τοῦ τε π(ανενδό)ξου (κυροῦ) Θεοφυλάκτου | τοῦ Χαλαζᾶ, (κυροῦ) Γεωργίου καὶ ἑτέρ(ων)· ὅτι ἐξ ἡμετέρας προ|τροπῆς προέβη ἡ

35. *ἀναντιρρήτ(ου)... τούτῳ.* 36. *τῇ μονῇ* 36. *ἀριδηλοτέροις... τῇ μονῇ* 37. *παραδεδωκότες τῷ... ἡμετέρῳ... τῇ... θείᾳ βασιλικῇ μονῇ... Ἱερισσιωτῶν* 38. *τῇ μονῇ... τῇ τοιαύτῃ γῇ... ἀκολόβωτον* 39. *ἑξῆς... δεσποτικῶς.* 40. *διασειομένη... ἐπηρεαζομένη... κατέχει... αὐτῇ γῆν... ἥτις τοῖς δικαίοις διείληπται.* 41. *συνομοροῦσαν... γὰρ τό δε... τῇ μονῇ.*

1. *παρόντος... πανυδοξοτ(ά)τ(ου)* 4. *μεγ(α)λ(ο)δοξοτ(ά)τ(ων)*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

παροῦσα σημείοσις παρὰ τοῦ ἁγιωτάτου | ἐπισκόπου Ἱερισσοῦ (κυροῦ) Θεοφίλου· καὶ πάντα τὰ ἔνδον ἐμπε|ριεχόμενα ὑπαναγνωσθέντα ἡμῖν ἀληθείας ἔχεσθαι | ἔδοξαν, καὶ κατὰ γνώμην ἡμετέραν πεπράχθαι τὰ τῆς ὑποθ(έσεως) | διέγνωμεν· ὑπεγράψαμεν καὶ ἡμεῖς πρὸς πᾶσαν | πίστωσιν καὶ περισσοτέραν ἀσφάλειαν τῆς μονῆς | μηνὶ καὶ ἰνδ(ικτιῶνι) τοῖς ἀναγεγραμμένοις |

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου | καὶ βασιλέως (καὶ) δοὺξ Θεσσαλονίκης | Ἀλέ(ξιος) ὁ Πηγονίτης †

## 9.

***Τεμάχιον «διατάξεως» φερούσης διὰ κινναβάρεως τὴν ὑπογραφὴν «Μιχαὴλ ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος.»***

*Νοέμβριος τοῦ ἔτους (6756) 1247, ἰνδ. ϛʹ.*

Ἐπὶ μεμβράνης διαστάσεων 0,72×0,26 ὑπ᾽ ἀριθ. 8 τοῦ χειρογράφου καταλόγου τοῦ γραμματοφυλακείου τῆς μονῆς κεῖται τὸ τέλος γράμματος ἀπολυθέντος κατὰ Νοέμβριον τοῦ (6756) 1247, οὗ ἡ ἀρχῇ ἐν ὑπερκειμένῃ καὶ συγκεκολλημένῃ ἑτέρᾳ μεμβράνῃ ἀπωλέσθη πρὸ πολλοῦ. Κατὰ τὴν ἄνω πλευρὰν τῆς διασωθείσης καὶ περὶ ἧς ὁ λόγος ἐνταῦθα μεμβράνης διακρίνονται ἔτι τὰ ἴχνη τῆς ὕλης, δι᾽ ἧς τὰ δύο ἐκ μεμβράνης τεμάχια τοῦ γράμματος ἦσαν συγκεκολλημένα.

Ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς σημειοῦται ὡς «τεμάχιον χρυσοβούλλου λόγου τοῦ Μιχαὴλ Κομνηνοῦ ἀχρονολόγητον» εἰ καὶ τὸ γράμμα τοῦτο φέρει βεβαίαν χρονολογίαν ἀπολύσεως τὴν ἄνωθεν ἀναγραφομένην.

Ὑπὸ τὴν ὑπογραφὴν ἐν τῷ γράμματι διακρίνοντα τὰ ἴχνη τῆς διατρήσεως τῆς μεμβράνης πρὸς ἀνάρτησιν τῆς κατὰ τὸ ἔθος ἐπιτιθεμμένης σφραγῖδος τοῦ ἀπολύσαντος, ἥτις ἀτυχῶς δὲν ὑφίσταται μὲν πλέον, πάντως ὅμως θὰ ἦτο ἀπὸ χρυσοῦ, ἀφ᾽ οὗ ὁ ἀπολύσας τὸ γράμμα τιτλοφορεῖται βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων.

Ὑπὲρ τὴν ὑπογραφὴν ἐν τῷ γράμματι δὲν προτάσσεται ἡ συνήθης τῶν αὐτοκρατορικῶν χρυσοβούλλων λόγων τυπικὴ διάταξις «ἐφ᾽ ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος».

6. *σημείωσις* 10. *πεπρᾶχθαι.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

Ἐὰν ἡ ὑπογραφὴ εἶνε αὐθεντικὴ καὶ σύγχρονος πρὸς τὸ γράμμα, ὡς ἔχομεν πάντα λόγον νὰ νομίζωμεν, πρέπει νὰ ἀποδοθῇ τοῦτο εἰς τὸν Δεσπότην τῆς Ἠπείρου Μιχαὴλ Β΄ Ἄγγελον Κομνηνὸν Δοῦκαν, ὅστις ἀπεβίωσε μὲν κατὰ τὸ ἔτος 1272, ἀλλ᾽ ἀπὸ τοῦ ἔτους 1237 μέχρι τοῦ ἔτους 1259 ἴσχυσεν ἐπὶ τοσοῦτον, ὥστε καὶ εἰς αὐτὴν τὴν κατάληψιν τῆς Κωνσταντινουπόλεως νὰ ἐποφθαλμιᾷ. Ἡ χρονολογία τῆς ἀπολύσεως τοῦ γράμματος δὲν ἐπιτρέπει νὰ ἀποδοθῇ τοῦτο εἰς ἄλλον τινὰ Μιχαήλ, ἄλλως εἶνε γνωστὸν ὅτι οὗτος κατὰ τὸ ἔτος 1246, δηλαδὴ ἓν ἔτος πρὸ τῆς ἀπολύσεως τοῦ περὶ οὗ ὧδε ὁ λόγος γράμματος, ἀπέστειλε πλούσια δῶρα εἰς τὰς ἐν Ἄθῳ μονὰς τοῦ Δοχειαρίου καὶ τοῦ Ἁγίου Παύλου.

Ἀφ᾽ ἑτέρου ἐκ τοῦ γράμματος τούτου ἔχομεν κατὰ πρῶτον τὴν εἴδησιν ὅτι ὁ Μιχαὴλ Β΄ εἶχε προσλάβει, ὡς πρότερον ὁ θεῖος αὐτοῦ Θεόδωρος Ἄγγελος Κομνηνὸς Δούκας, τὸν τίτλον τοῦ βασιλέως τῶν Ῥωμαίων, δι᾽ ὃν εἶνε γνωστὸν ὅτι ἀντηγωνίζοντο οἱ ἐν Ἠπείρῳ ἡγεμόνες πρὸς τοὺς ἐν Νικαίᾳ. Παράδοξος ὅμως εἶνε ἡ ἐν τῇ ὑπογραφῇ ἐπωνυμία τοῦ Παλαιολόγου, ἣν οὐδεὶς τῶν δεσποτῶν τῆς Ἠπείρου ἔφερε, καθ᾽ ὅσον τοὐλάχιστον γνωρίζομεν ἐκ τῶν δημοσιευθέντων μέχρι τοῦδε χρυσοβούλλων λόγων αὐτῶν.

Τοῦ περὶ οὗ ἐνταῦθα ὁ λόγος Μιχαὴλ Β΄ ἐλάχιστα μέχρι τοῦδε εἶνε γνωστὰ γράμματα.[1]

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

ἀγελάδια μικρὰ μεγάλα ἑβδομήκοντα, βουβάλια ἀργὰ πεντήκοντα, ἄλογα σαγμάρια βορδόνια πέντε, προ|βατα ὡσὶ πεντακόσια (καὶ) ἡ τῶν πιστικῶν ἅπασα χρειώδης ἀκολουθία, μελίσσια ἐν διαφόροις τόποις ὡσεὶ (καὶ) δια|κόσια (καὶ) ἕτ(ε)ρα ὑλικὰ διάφορα ἅπερ οὐκ εἰς μνῆμην ἔφερον: (καὶ) ταῦτα μὲν οὕτως· προσετέθησ(αν) δὲ ἐν τῇ μονῇ | παρὰ τῆς κυρᾶς Εἰρήνης μετὰ τὴν ἐνταῦθα ἀποβίωσιν τοῦ ἀνδρὸς αὐτῆς κυροῦ Φωκᾶ τοῦ καὶ ἀλλα|γάτορος ζευγάρια τρία, τὸ μὲν ἓν βουβαλικόν, τὰ δὲ ἕτερα βοεικά, ἁμάξια σιδηροκάνσωτα δύο· ἀνη|γέρθη δὲ (καὶ) ἡ ἐκκλησία τοῦ μετοχίου τοῦ Αὔλακος ἡ ἐπὸνόματι τιμωμένη τοῦ ἁγίου μεγαλομάρτυρος Προκοπίου | παρὰ τῆς αὐτῆς κυρᾶς Εἰρήνης (καὶ) δι᾽ ὑλογραφίας ἱστορήθη· ἡ αὐτὴ ἀνοικοδόμησε (καὶ) ὑδρόμυλον ἐν τῇ αὐτῇ | ποταμία

1. *βορδώνια ... πρόβατα* 2. *ὡσεί* 3. *τῇ μονῇ* 5. *σιδηροκαύσωτα(;)* 6. *ἐπ᾽ ὀνόματι* 7. *ἀνῳκοδόμησε ... τῇ αὐτῇ* 8. *ποταμία ...*

[1] Acta et Dipl. Γ΄ σ. 67 (προνόμια Ραγουζαίων). Ι. Ῥωμανοῦ, Ἀνδευγαυικὸν δίπλωμα ἐν Δελτίῳ Ἱστορ. Ἐθν. Ἑταιρείας τ. Β΄ σ. 587.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

τοῦ Αὔλακος· (καὶ) ἀμπέλιον κατεφύτευσεν ἐν τῶ αὐτῶ τόπω· ἐν τῆ ἐκκλησία τοῦ ἁγίου Προκοπίου ἔθετο | βλαττία λάμνας δύο· ἡ αὐτὴ ἱστόρησε (καὶ) τὴν τῶν μοναρχῶν μεγάλην τράπεζ(αν)· ὠκοδομήθησ(αν) δὲ δι᾽ αὐτῆς | καὶ τὰ ὄπισθεν (καὶ) ἔμπροσθεν κελλία τῶν μοναχῶν· προσέθετο (καὶ) τὰ δύο τμήματα χωράφια, ἅπερ ἐξω|νήσατο ἀπὸ Ὑαλέα καὶ τοῦ Ἀμηρᾶ· ἕτερον χωράφιον τοῦ Συριτιανοῦ Ἀγγέλου ἀγορασθὲν παρ᾽ αὐτῆς· ἡ αὐτὴ | κυρὰ Εἰρήνη ἀνέθετο ἐν τῆ ῥηθείσῃ μονῆ (καὶ) τὸ προσὸν αὐτῆ ἀμπέλιον τὸ κάτωθεν τοῦ ἁγίου Δημητρίου οἷον | (καὶ) ὅσον ἐστὶ μετὰ τοῦ ζευγηλατείου· περιέθετο αὔτη (καὶ) τὸν κόσμον τὸν τοῦ εὐαγγελίου τῆς μονῆς, βλαττίον ἕν, | μανουάλια ζυγὴν μίαν· ἡ αὐτὴ ἀνοικοδόμησε (καὶ ἕτερον ὑδρόμυλον κάτωθεν τῆς μονῆς· δέδωκε δ᾽ αὔτη καὶ | ὑπέρπυρα ἑκατὸν τεσσαρακοντατέσσαρα. Οὕτως οὖν διαθέμενος, ὅστις τῶν ἐπιβεβηκότων ἢ τῶν | ὑποβεβηκότων τῶν ἀνωτέρων (καὶ) μέχρι τῶν ἐσχάτων τῶν τε ἐκτὸς τοῦ βήματος καὶ τῶν ἐντὸς ὁποῖας | ἄρα ἀξίας τύχοιε πειραθῆ ἐναντίωσιν ἐπάξαι τῆ παρούσῃ μου φανερᾶ διατάξει καὶ παρὰ τὰ ἐν αὐ|τῆ διατεταγμένα τολμῆσαι ἐπιχειρίσειεν ὁ τοιοῦτος οἷος ἂν (καὶ) εἴη, οὐ μόνον ἐσεῖται ἀλλότριος τοῦ θ(εο)ῦ | (καὶ) τῆς τῶν χριστιανῶν πίστεως, ἀλλὰ καὶ τὰς ἀρὰς ἐπισπάσεται τῶν τριακοσί(ων) ὀκτωκαίδεκα | ἁγίων θεοφόρων πατέρων (καὶ) ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα (καὶ) μετὰ τῶν κραξάντων τὸ ἆρον | ἆρον στ(αύ)ρωσον τὸν τοῦ θ(εο)ῦ υἱόν· βούλομαι γὰρ τὴν παροῦσ(άν) μου φανερὰν διαθήκην βεβαί(αν) εἶναι καὶ | ἀπερικλόνητον εἰς τὸν αἰῶνα τὸν ἅπαντα γραφεῖσ(αν) τῆ ἐμῆ προτροπῆ διὰ τοῦ ὑπομνηματογράφου τῆς | ἁγιωτάτης μητροπόλε(ως) Φιλαδελφεί(ας) Μιχα(ὴλ) διακόνου τοῦ Παξιμάδη ἐνώπιον τῶν ὑποτεταγμ(έ)ν(ων) | μαρτύρων μηνὶ νο(εμβρ(ίῳ) ἰνδ(ικτιῶνος) ἕκτης ἔτους ͵ςψνς. ─┼─ ***Μιχαὴλ | ἐν Χ(ριστ)τῷ τῷ Θ(ε)ῷ | πιστὸς βασιλεὺς | καὶ αὐτοκράτωρ | Ῥωμαί(ων) Δούκας Ἄγγελος Κομνη|νὸς ὁ Παλαιο|λόγος*** ─┼─

8. *τῷ αὐτῷ τόπῳ ... τῇ ἐκκλησίᾳ* 9. *ᾠκοδομήθησ(αν)* 12. *τῇ ... μονῇ ... αὐτῇ* 13. *ὅσον ἐστι* 14. *ἀνῳκοδόμησε* 15. *τεσσαράκοντα τέσσαρα* 16. *ὁποίας* 17. *τύχοι ... πειραθῇ ... τῇ παρούσῃ ... φανερᾷ* 18. *αὐτῇ ... ἐπιχειρήσειεν* 22. *τῇ ἐμῇ προτροπῇ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

## *10.*

## *Χρυσόβουλλος λόγος τοῦ αὐτοκράτορος Ἀνδρονίκου Β' τοῦ Παλαιολόγου.*

*Ἰούλιος τοῦ ἔτους (6800) 1292, ἰνδ. ε'.*

Ἐπὶ μεμβράνης διαστάσεων 1,00×0,30 καταγεγραμμένης ὑπ' ἀριθ. 2ω ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς. Εἰς τὸ διασῳζόμενον ἀρχέτυπον τοῦ γράμματος τούτου ἤρτηται ἔτι ἡ χρυσῆ βούλλα τοῦ ἀπολύσαντος τὸν χρυσόβουλλον λόγον αὐτοκράτορος. Ἐν τῷ ἀρχετύπῳ, ἡ ἰδικτιὼν ἀναγράφεται ὁλογράφως δεκάτη πέμπτη, διορθωτέα ὅμως εἰς πέμπτην, καθ' ὅσον αὕτη συμπίπτει πρὸς τὸ ἐπίσης ὁλογράφως σημειούμενον ἑξακισχιλιοστὸν ὀκτακοσιοστὸν ἔτος τῆς ἀπολύσεως τοῦ χρυσοβούλλου λόγου.

Ὅμοιοι κατὰ μέγα μέρος τήν τε φράσιν καὶ τὸ ἀντικείμενον, δι' ὃ ἀπελύθησαν, κεῖνται ἐν τῷ γραμματοφυλακείῳ τῆς μονῆς δύο ἔτι ὑπὸ τοῦ αὐτοκράτορος Ἀνδρονίκου τοῦ Β'. ἀπολυθέντες χρυσόβουλλοι λόγοι.

Ἐκ τούτων ὁ εἷς εἶναι ἐπὶ μεμβράνης διαστάσεων 1,55×0,44 καταγεγραμμένης ὑπ' ἀριθ. 5ω ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς, καὶ σημειοῦται ὡς ὕποπτος ἢ ἀντίγραφον τοῦ ἀρχετύπου, ἕνεκα τῆς διαφορᾶς τῆς ὑπ' αὐτὸν ὑπογραφῆς τοῦ ἀπολύσαντος αὐτοκράτορος πρὸς τὴν τοῦ παρόντος χρυσοβούλλου λόγου τοῦ αὐτοῦ αὐτοκράτορος.

Ὡς ὄντως ἐν τοῖς πανομοιοτύποις τῶν δύο τούτων γραμμάτων παρατηρεῖται, ἡ ὑπογραφὴ τοῦ ἀπολύσαντος αὐτοκράτορος, ὅστις εἶνε εἷς καὶ ὁ αὐτός, ὑπέγραψε δὲ ἀμφότερα τὰ γράμματα κατὰ τὸν αὐτὸν μῆνα καὶ ἔτος (Ἰούλιον τοῦ 1292) εἶνε διάφορος· διότι πλὴν τῆς διαφορᾶς τῆς γραφῆς εἰς μὲν τὸ παρὸν γράμμα ὑπογράφεται «Ἀνδρόνικος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ Αὐτοκράτωρ Ῥωμαίων», εἰς δὲ τὸ ὑπ' ἀριθ. 5ω ἐπιπροστίθεται εἰς τὴν ἀνωτέρω ὑπογραφὴν τὸ ἐπίθετον »ὁ Παλαιολόγος». Δὲν νομίζω ὅμως ὅτι τοῦτο καὶ μόνον ἀρκεῖ ὅπως χαρακτηρισθῇ τὸ τελευταῖον τοῦτο γράμμα ὡς ὕποπτον· διότι καὶ εἰς ἄλλον χρυσόβουλλον λόγον τοῦ αὐτοῦ αὐτοκράτορος, ἀπολυθέντα ἐν ἔτει 1301[1], παρατηρεῖται ἐν τῇ ὑπογραφῇ τοῦ αὐτοκράτορος Ἀνδρονίκου τοῦ Β', οὐ μόνον κατὰ τὴν γραφὴν διαφορὰ πρὸς τὰς ὑπογραφὰς τῶν προμνημονευθέντων γραμμάτων, ἀλλὰ καὶ κατὰ τὴν διατύπωσιν οὐσιωδεστέρα μάλιστα, καθ' ὅσον ἐν τούτῳ ὁ ἀπο-

---

[1] Οὗτος ἐξεδόθη ὑπὸ W. Regel ἐν τῷ περὶ χρυσοβούλλων καὶ γραμμάτων τῆς μονῆς Βατοπεδίου ἔργῳ του ὑπ' ἀριθ. II (σελ. 6-9).

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

λύσας αὐτοκράτωρ ὑπογράφεται «Ἀνδρόνικος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ρωμαίων Δούκας, Ἄγγελος, Κομνηνὸς ὁ Παλαιολόγος». Καὶ ὅμως καὶ τὸ γράμμα τοῦτο καὶ τὸ εὐθὺς κατωτέρω ἐκδιδόμενον εἶνε ἀναμφισβητήτως γνήσια ὡς ἀποδεικνύεται καὶ ἐκ τῆς ἔτι ἀνηρτημένης χρυσῆς σφραγῖδος τοῦ ἀπολύσαντος αὐτοκράτορος.

Ὅθεν τὸ ὑπ᾽ ἀριθ. 5ω χρυσόβουλλον δὲν δύναται νὰ θεωρηθῇ ὕποπτον, ἀλλ᾽ εἶνε γνήσιον καὶ αὐθεντικόν· δὲν εἶνε ὅμως τὸ ἀρχέτυπον, εἰ καὶ ἡ γραφὴ αὐτοῦ εἶνε σύγχρονος σχεδὸν πρὸς τὴν ἐποχὴν καθ᾽ ἣν ἀπελύθη, ἀλλ᾽ ἀντίγραφον τοῦ ἀρχετύπου γενόμενον ὀλίγα ἔτη μετὰ τὴν ἀπόλυσιν αὐτοῦ καθ᾽ ὅσον ἐλλείπουσιν ἀπὸ τούτου αἱ συνήθως διὰ χειρὸς τοῦ αὐτοκράτορος ἀναγραφόμεναι λέξεις, δηλαδὴ ὁ μήν, αἱ μονάδες καὶ δεκάδες τοῦ ἔτους καὶ ἡ ἰνδικτιὼν τῆς ἀπολύσεως.

Καὶ τὸ γράμμα τοῦτο τὸ ὁποῖον ἤδη ἐξέδωκεν ὁ W. Regel, (ἀρ. I σελ. 1-5) εἶνε ὡς πρὸς τὸ περιεχόμενον ὅμοιον πρὸς τὸ παρ᾽ ἐμοὶ ὑπ᾽ ἀριθ. 10, πλὴν διαφόρων τινῶν γραφῶν [1] καὶ χωρίου ἐλλείποντος ἀπὸ τοῦ ἡμετέρου γράμματος καὶ ἀφορῶντος εἰς τὴν διαταχθεῖσαν ὑπὸ Ἀλεξίου Α΄. τοῦ Κομνηνοῦ μετοίκισιν τῶν ἐν ἁγίῳ Ὄρει οἰκούντων λαϊκῶν εἰς Πελοπόννησον, ἣν εἴδησιν μὴ οὖσαν ἄλλοθεν γνωστὴν τὸ πρῶτον ἤδη γνωρίζομεν [2].

Διὰ τίνα λόγον ὅμως ἀπελύθησαν κατὰ τὸν αὐτὸν μῆνα καὶ τὸ αὐτὸ ἔτος ὑπὸ τοῦ αὐτοῦ αὐτοκράτορος δύο χρυσόβουλλοι λόγοι, ἀφορῶντες ἀμφότεροι εἰς μίαν καὶ τὴν αὐτὴν ὑπόθεσιν; Εἶνε λίαν πιθανὸν ὅτι ἀπελύθη πρῶτος ὁ ὑφ᾽ ἡμῶν δημοσιευόμενος χρυσόβουλλος λόγος καὶ ἐπειδὴ ἐν αὐτῷ δὲν καθωρίζετο τὸ ζήτημα τῆς διανομῆς τῆς «χώρας τοῦ Μιχαήλ», τῆς κειμένης μεταξὺ τῶν μονῶν τοῦ Βατοπεδίου καὶ τοῦ Ἐσφιγμένου, περὶ τῆς κατοχῆς τῆς ὁποίας ἤριζον οἱ μοναχοί, τῇ αἰτήσει τῶν ἡγουμένων ἀμφοτέρων τῶν μονῶν, ὡς ἐν τῷ παρὰ Regel (I σελ. 4) γράμματι ἀναφέρεται, ἀπελύθη ὁ δεύτερος χρυσόβουλλος λόγος εἰς συμπλήρωσιν τῶν ἐλλειπῶν διατάξεων τοῦ πρώτου.

Ἐν πολλοῖς ὅμοιον τήν τε φράσιν καὶ τὸ ἀντικείμενον πρὸς τὸν ὑπ᾽ ἀριθ. 10 χρυσόβουλλον λόγον τῆς ἡμετέρας συλλογῆς [3] εἶνε ἐπ᾽ ἴσης καὶ γράμμα ἐπὶ μεμβράνης διαστάσεων 1,85×0,32 καταγεγραμμένης ὑπ᾽ ἀριθ. 4ω ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς. Τὸ γράμμα τοῦτο, ἀπηλλαγμένον τῶν πλείστων τῶν ὀρθογραφικῶν σφαλμάτων τῶν ἄλλων καὶ ἔχον σπανιωτάτας συντομογραφίας τῶν καταλήξεων, φέρει ἔτι τὴν χρυσῆν βοῦλλαν τοῦ ἀπολύσαντος αὐτὸ αὐτοκράτορος [4].

---

[1] Ταύτας σημειῶ εἰς τὰς καταλλήλους θέσεις παραγράφων τὸ γράμμα Α.

[2] Βλέπε τὸ σχετικὸν μέρος παρὰ W. Regel σελ. 4.

[3] Τὰς μικρὰς πρὸς τὸν ἡμέτερον παραλλαγάς σημειῶ παραγράφων τὸ γράμμα Β.

[4] Ἐξεδόθη καὶ τοῦτο ὑπὸ W. Regel ὑπ᾽ ἀριθ. II (σελ. 6-9).

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

† Καὶ τοῖς μὲν τὰ πρῶτα βάθρα καὶ κρηπίδας πηξαμένοις αὐτὰς, (καὶ) ἱεροὺς σηκοὺς, (καὶ) εὐ|αγῆ σεμνεῖα (καὶ) φροντιστήρια δομησαμένοις, (καὶ) δαψιλεῖς τοῖς τὰς δαπάνας προσαναλώ|σασιν, ἐπαινετὸς ὁ τρόπος (καὶ) ἡ πράξις θεοφιλής· ἐπαινετοὶ δ' οὐχ ἧττον κἀκεῖνοι, ὅσοι τὰ | τοιαῦτα συνορῶντες, τῇ τοῦ χρόνου φορᾷ εἰς παντελῆ κατενεχθῆναι πτῶσιν προχωροῦντα | σχεδὸν τὴν δυνατὴν ἐν τούτοις βοήθειαν συνεισφέρουσιν, (καὶ) ὅσα γε εἰς ἀνακαινισμὸν αὐτ(ῶν) | (καὶ) ἐπανόρθωσιν ἐφορᾷ, ἐκτελεῖν καθεστήκασιν· ἔδοξε τοιγαρουν τῶν πρὸ ἡμῶν βεβασιλευκό|των τισὶ (καὶ) πρὸς οἰκοδομὰς (καὶ) ἀνιδρύσεις καινῶν φροντιστηρίων μόνων ἐφρόντισαν· οὐ μὴν δὲ | καὶ τοῖς προγεγονόσι (καὶ) ὑπὸ χρόνου καταπεπονημένοις (καὶ) κάμνουσι χεῖρα βοηθείας ἐπώρε|ξαν· τῇ ἐμῇ δὲ βασιλείᾳ κρεῖττόν τε (καὶ) λυσιτελέστερον ἔδοξε τῶν καταπεπονημένων | ὑπερασπίσασθαι ὡς ἐξὸν (καὶ) μὴ ἐᾶσαι πάμπαν καταπεσεῖν (καὶ) τοῖς πρὶν εὐδαιμονί(ας) στέρη|σιν ὑποίσεσθαι παντελῆ ·καί γε τὰ τῶν ἔργων καλὰ παραῤῥυῆναι τῷ χρόνῳ (καὶ) παραδοθῆναι τῇ | λήθῃ· ναὶ μὴν (καὶ) σὺν αὐτῷ θ(ε)ῷ τὰ νενομισμένα (καὶ) κατὰ σκοπὸν ἡμῖν μετὰ προθυμί(ας) πάσης | ἐκτελούμενα δείκνυται (καὶ) εἰς αὔξησιν προχωροῦντα χρηστὴν (καὶ) βελτίωσιν· (καὶ) ὡς ἐν βραχεῖ φᾶναι | οὐκ ἐστὶ τὶ τῶν δεόντ(ων) (καὶ) δυναμέν(ων) πραχθῆναι οὐδὲν ὃ μὴ καὶ πράττηται, ὅσον τὸ εἰς τὴν ἐμὴν ἧκον προαίρε|σίν τε (καὶ) βούλησιν· πρὸς γοῦν τοῖς ἄλλοις (καὶ) ἡ κατ(ὰ) τὸ ἅγιον Ὄρος διακειμένη σεβασμία μονὴ τ(ῆς) βασι|λείας μου, ἡ εἰς ὄνομα τ(ῆς) πανυπεράγνου θεομήτορος ἀνιδρυμένη (καὶ) τετιμημένη (καὶ) οὕτω πως τοῦ | Βατοπεδίου ἐπικεκλημένη, μετ(ὰ) τῶν πρώτων (καὶ) περιφανῶν τεταγμένη ἀνέκαθεν, εἶτα τῆς προσούσ(ης) | αὐτῇ τοιαύτης τάξεώς τε (καὶ) εὐδαιμονίας στερηθῆναι μικροῦ δεῖν παντελῶς κινδυνεύουσα, διά γε τὸ | ταύτην μεγίστοις καθυποβληθῆναι ὑπὸ

1. *κρηπῖδας - αὐτόθι πηξαμένοις A αὐτὰς πηξαμένοις B.* 2. *αὐτοῖς A τούτοις B* 3. *πρᾶξις* 6. *ἀφορᾷ (ὡς καὶ τὰ δύο ἄλλα γράμματα)... τισὶ τῶν πρὸ ἡμῶν βεβασιλευκότων A* 7. *φροντίσαι (ὡς ὀρθῶς A)* 8. *ἐπορέξαι (ὡς ὀρθῶς A) ὡς δέον ἐπώρεξαν B* 9. *τῇ ἐμῇ βασιλείᾳ δὲ A.* 10. *τῆς πρὶν* 12. *ναὶ μὴν σὺν αὐτῷ τῷ θεῷ A.* 13. *φάναι.* 14. *οὐκ ἔσιι τι... πραχθήσεται A- πράττεται B.* 18. *αὐτῇ τάξεως A.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

πειρατῶν τοῖς δεινοῖς (καὶ) ὧν εἶχεν ἐντεῦθεν ἀφαιρεθῆναι τὰ κά|λλιστα ἢ μᾶλλον τὰ σύμπαντα, τοῦ θ(εο)ῦ τοῦτο, οἷς αὐτὸς οἶδε κρίμασι τε (καὶ) τρόποις, παραχωρήσαντος, αὖ|θις πρὸς τῆς ἡμετέρας βασιλείας πολλάκις (καὶ) ἐν διαφόροις ἱκανὰς τὰς ἀντιλήψεις (καὶ) χορηγί(ας) κομισα|μένη, εἰς τὴν προτέραν ἐπανῆλθεν εὐδαιμονίαν τε (καὶ) κατάστασιν, ἐν ᾗ (καὶ) νῦν ὁρᾶται (καὶ) καλλωπίζεται,| συνευδοκούσης ἐπὶ τούτῳ (καὶ) τῇ ἐμῇ συναιρουμένης προθέσει (καὶ) αὐτῆς δὴ τ(ῆς) ἐν αὐτῇ τετιμημέν(ης)| πανυπεράγνου ὡς εἴρηται θεομήτορος, ἣν (καὶ) θερμὴν προστάτιν ἡ βασιλεία μου κέκτηται (καὶ) τῶν ἐξ αὐ|τῆς ἀντιλήψεων (καὶ) συνασπισμῶν καθ᾽ ἑκάστην παραπολάβουσα δείκνυται· ἐντεῦθεν κ(αὶ) πολλῆς | πρότερον τ(ῆς) κηδαιμονί(ας) ἡ τοιαύτη τοῦ Βατοπεδίου σεβασμία μονὴ παρὰ τῆς βασιλείας μου ὡς δε|δήλωται ἀπολαύσασα, ταύτην προτείνονται αἴτησιν· ἥ δέ ἐστι: χρυσόβουλλον επορεχθῆναι αὐτῆς| ἐπιβεβαιοῦν (καὶ) ἑδράζον τὴν κατοχὴν (καὶ) νομὴν τῶν προσόντ(ων) τῇ αὐτῇ μονῇ διὰ παλαιγενῶν (καὶ) λοιπ(ῶν)| διαφόρων δικαιωμάτων· ἡ γοῦν βασιλεία μου, τ(ὴν) τοιαύτην αὐτῶν εὐμενῶς προσηεμένη αἴτησιν| (καὶ) παράκλησιν, ἐπιχορηγεῖ τούτοις τ(ὸν) παρόντα χρυσόβουλλον ***λόγον*** αὐτῆς, δι᾽ οὗ δὴ (καὶ) προστάσσει |(καὶ) διορίζεται κατέχειν (καὶ) εἰς τὸ ἑξῆς τ(ὴν) κατ᾽ αὐτοὺς τοιαύτην σεβασμίαν μονὴν πάντα τὰ ἀνέκαθεν (καὶ) μέχρι| τοῦ παρόντος ἀδιαστίκτως κατεχόμενα (καὶ) δεσποζόμενα παρ᾽ αὐτῆς κτήματά τε (καὶ) λοιπά, ἃ (καὶ) οὕτως ἐξ ὀ|νόματος ἔχουσιν, ὡς οἱ τοιοῦτοι ἀνέφερον μοναχοί· ἐν τῷ θέματι Σερρῶν περί που τ(ὸν) ʽΣτρύμμονα χωρίον | ἡ Ζαβερνίκεια μετὰ τ(ῆς) περιοχῆς (καὶ) τῶν δικαίων αὐτῶν· πλησίον τούτου ἕτερον χωρίον ἐπιλεγόμενον Σέμελ|τον μετὰ τοῦ ἐκεῖσε ἀμπελῶνος (καὶ)

20. *κρίμασί τε .... οἷς οἶδε τρόποις παραχωρήσαντος Α- οἷς αὐτὸς οἶδε τρόποις παραχωρήσαντος Β* 21. *αὖθις πῶς Α (αὖθίς πως κατ᾽ ἀνάγνωσιν τοῦ Regel) ... ἐν διαφόροις καιροῖς Α.* 23. *ἐπὶ τούτῳ τῆς τῇ ἐμῇ συναιρομένης Α.* 25. *παραπολαύουσα- ἀπολαύουσα δείκνυται Α.* 26. *κηδεμονί(ας)* 27. *προτείνονται τὴν αἴτησιν Α ἐπορεχθῆναι αὐτοῖς (ὡς καὶ Β) - αὐτῇ Α παλαιγενῶν χρυσοβούλλων καὶ προσταγμάτων, ἔτι δὲ καὶ πρακτικῶν καὶ λοιπῶν διαφόρων δικαιωμάτων Β* 28. *προσηκαμένη (κατὰ Α καὶ Β).* 32. *λοιπὰ δίκαια (Α καὶ Β)* 33. *Στρυμόνα ὁ Β Στρυμμόνα.* 34. *τῶν δικαίων αὐτοῦ (ὡς Α καὶ Β)*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

τῶν λοιπῶν δικαί(ων) αὐτοῦ, ἐν οἷς εὑρίσκεται (καὶ) κελλίδριον ἐπονομαζόμ(εν)ον | Βοδίτζα μετὰ τῶν ἐν αὐτῷ προσκαθημένων· ἕτερον χωρίον καλούμενον Χοτολίβι μετὰ τ(ῆς) περιοχῆς (καὶ) | τῶν δικαίων αὐτοῦ, ἀλλὰ καὶ μετόχιον εἰς ὄνομα τιμώμενον τῶν ἁγίων Ἀναργύρ(ων) μετὰ τῶν ἐν αὐτῷ προσκα|θημένων, ἔτι δὲ καὶ ἀμπελώνων (καὶ) τῆς κατ᾿ ἔτος τελουμένης πανηγύρεως· ὡσαύτως (καὶ) ἐντὸς τ(ῆς) θεοσώ|στου πόλεως Θεσσαλονίκης μετόχιον εἰς ὄνομα τιμώμενον τῆς πανυπεράγνου θεομήτορος μετὰ τῶν πε|ρὶ αὐτὸ οἰκημάτων· ἐν τῇ περιοχῇ τοῦ Κοπελτζοῦ χωρίον ἐπιλεγόμενον τοῦ Κριμωτᾶ, μετὰ πάντ(ων) | τῶν δικαίων αὐτοῦ· εἰς τὴν πλατεῖαν Τοῦμβαν γῆν ἐπωνομαζομένην τοῦ Ῥαφαλίου· περὶ τ(ὴν) νῆσον | τὴν Κασάνδριαν μετόχιον εἰς ὄνομα τιμώμενον τῶν ἁγίων μεγάλων μαρτύρ(ων) Θεοδώρ(ων) μετὰ τ(ῆς) περὶ αὐ|τὸ γῆς ἐπιλεγομένης τῶν Λεονταρί(ων)· ἐν τῷ χωρίῳ τοῦ ἁγίου Μάμαντος μετόχιον εἰς ὄνομα τιμώ|μενον τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, ὡσαύτως (καὶ) πάροικοι καὶ ἀμπελόπακτον (καὶ) γῆν | οὕτως ἐπωνομαζομένην τοῦ Βατοπεδίου· ἐν τῇ περιοχῇ τῇ ἐπιλεγομένῃ τοῦ Ἁλμυροῦ | μονίδριον εἰς ὄνομα τιμώμενον τοῦ δεσπότου μου σ(ωτῆ)ρ(ο)ς Χ(ριστο)ῦ, μετὰ (καὶ) τῆς ἐν αὐτῷ μερικῆς γῆς· με|τόχιον εἰς τ(ὸν) Προαύλακα, ἐπιλεγόμενον ἐγχωρίως τὸ Ἐλαδιάβα· ἑτέρα γῆ μοδίων τριακοσί(ων) | ἑβδομήκοντα πλησίον τούτου, ἐπιλεγομένη Ἁμαξίνα· ἐν τῇ περιοχῇ τοῦ τόπου τῶν Σιδηρο|καυσίων μονίδριον εἰς ὄνομα τιμώμενον τ(ῆς) ὑπεραγί(ας) θ(εοτό)κου τῆς Σπηλαιωτίσης, μετὰ τῶν| δικαίων αὐτοῦ· πλησίον τοῦ χωρίου τ(ῆς) Κομητίσσης μετόχιον ἐπικεκλημένον τοῦ Κουτουλάρι, με|τὰ τῶν ἐν αὐτῷ προσκαθημένων· ἔτι μετόχιον καλούμενον τοῦ Προσφορίου μετὰ πάσης τῆς | περιοχῆς (καὶ) νομῆς (καὶ) παλαιγενῶν προσταγμάτων (καὶ) λοιπῶν δια-

35. *κελλύδριον* 36. *Χοτολίβοι Α καὶ Β.* 37. *ἀλλὰ δὴ καὶ μετόχιον (Α καὶ Β)* 40. *Κολπετζοῦ Α - Κομπελτζοῦ Β.* 41. *τούμβαν ἐπονομαζομένην - γῆ Α καὶ Β.* 42. *Κασσάνδρειαν.... μεγαλομαρτύρων (Α καὶ Β)* 44. *καὶ παροίκους* 45. *ἐπονομαζομένην ... τῇ περιοχῇ· ἐν Α καὶ γῆ ἥτις οὕτω πως ἐπονομαζομένη ἐν Β καὶ γῆ ἡ οὕτω πως ἐπονομαζομένη* 46. *μονύδριον* 47. *ἐγχωρίως Ἐλαδιάβα Α* 49. *μονύδριον Σπηλαιωτίσσης.* 51. *ἔτι δὲ καὶ μετόχιον Α* 52. *νομῆς παλαιγενῶν Α*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

φόρ(ων) δικαιωμάτων, ἅ (καὶ) οὕτως ἐξ | ὀνόματος ἔχουσι· τὸ ὅλον πλάγι μετὰ τῆς μάνδρας τῶν ἀγελαδῶν· ἔτι δὲ (καὶ) τὰ καλὰ δένδρα ἔχον|τα γῆν μοδίων ρ΄· πλησίον αὐτοῦ τὸ ἐπικεκλημένον Μανεδονίσι, μετὰ τοῦ καταρέοντος ὕδατο(ς) | ἀπὸ τῆς μεγάλης βήγλης μέχρι τῶν δύω ἀκροτηρί(ων) τῶν ἐν τῇ θαλάσσῃ, πλησίον τοῦ παλαιοῦ | κάστρου· ἑτέρα γῆ τῆς ἐπιλεγομένης Συκαμιναί(ας) ἔχουσα μοδίων ρ΄, ἕως τὸ χωράφιυν πλησίον τὸ ἐπι|κεκλημένον τοῦ Κακοδιάβα· νησίον ἐπωνομαζόμενον ἡ Ἀμολιανὴ μετὰ τῶν δικαίων (καὶ) προνομί(ων) | αὐτοῦ· ὁμοίως καὶ ἐντὸς τοῦ ἀναγεγραμμένου ἁγίου Ὄρους τὰ ὅρια τ(ῆς) μονῆς τῆς βασιλείας μου τοῦ Βα|τοπεδίου ἄρχονται ἐκ τ(ῆς) θαλάσσης τῆς πρώτ(ης) ῥάχιος, ἀντικρὺ τοῦ χωρίου τοῦ Μηχαήλ, νῦν (δὲ) λεγομένου | παλαιοῦ χωρίου, ἐκ πέτρας ἱσταμένης ὀρθῆς (καὶ) πλατείας, τ(ῆς) βλεπούσ(ης) πρὸς ἄρκτον, ἀνιόντα εἰς μικρὰν | πεδιάδα· κἀκεῖθεν ἀνέρχεται τὴν αὐτὴν ῥάχιν μέχρι (τῆς) τούμβης, πλησίον τ(ῆς) ὁδοῦ ἐρχομένης ἐκ | τοῦ Ἐσφιγμένου· κρατῶν δεξιὰ λαμβάνει τὰ καταῤῥέοντα ὕδατα, ἔρχεται ἄνω εἰς τὴν ῥάχιν τὴν | τρανήν, κἀκεῖθεν ἔρχεται εἰς τὴν ὑψηλοτέραν τούμβαν τὴν πετροτήν, ἀποβλέπουσαν κάτω εἰς τοῦ Σπα|νοῦ Βαρνάβα· κἀκεῖθεν διαπερῶν τὰς τρεῖς τούμβας ἔρχεται εἰς τὴν σελάδα ἐν τῇ ῥιζημαίᾳ | πέτρᾳ τῇ σχιστῇ, πλησίον τῆς ἐρχομένης ὁδοῦ ἐπὶ τῶν Καρῶν· ἔχων τὴν αὐτὴν ὁδὸν ἔρχεται εἰς τὸν σταυ|ρὸν τοῦ Μακρυγένους, πλησίον τοῦ κρύου ὕδατος (καὶ) περικυκλοῖ τὸ Κρυόβουνον, κατέρχεται εἰς τὴν σε|λάδα εἰς τὸ σύνορον τὸ προτατινὸν κρατῶν ἀριστερὰ τὸν κατερχόμενον ῥύακα πλησίον τοῦ κρύου | ὕδατος μέν(ων) ἀριστερά, κατέρχεται τὸν αὐτὸν ῥύακα εἰ τὴν περιοχὴν τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου | του Στούμπου· κρατῶν τὴν αὐτὴν περιοχὴν ἔρχεται τὸ κάταντες εἰς τὴν περιοχὴν τοῦ ἁγίου Νικολάου

53. *ὅλον τὸ πλάγιον μέρος A ... ἀγελάδων.* 54. *πλησίον τούτων A ... Μακεδονήσι ... καταρρέοντος* 55. *βίγλης ... ἀκρωτηρίων.* 56. *Συκαμινέ(ας) ... ἕως τοῦ χωραφίου πλησίον τοῦ ἐπικεκλημένου Κακοδιάβα A* 57. *ἐπονομαζόμενον· ὁ A ἐπονομαζόμενον Ἀμολιανὴ μετὰ τῶν δικαίων αὐτοῦ καὶ προνομίων* 59. *ῥάχεως... Μιχαὴλ* 61. *κἀκεῖθεν... τὴν αὐτὴν* 63. *κἀκεῖθεν ... πετρωτὴν* 64. *κἀκεῖθεν ... σελλάδα ... ῥιζιμαίᾳ* 66. *Μακρογένους A* 67. *σελλάδα ... πρωτατινὸν* 69. *τοῦ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

τοῦ | Στούμπου, μέχρι τοῦ βαθέ(ος) ῥύακος· (καὶ) αὖθις ἀνέρχεται διὰ τοῦ ῥύακος μέχρι τῶν Δικρύ(ων), (καὶ) σχίζων | τὴν ῥάχιν δισσῶς ἔρχεται εἰς τὴν ὁδὸν τὴν βλέπουσαν κατὰ τὰς ἀνατολάς, δι᾽ ἧς ὁδοῦ ἔρχεται εἰς τὴν | περιοχὴν τοῦ Φαλακροῦ· κἀκ τῆς αὐτῆς περιοχῆς κατέρχεται εἰς τὴν θάλασσαν ἀντικρὺ τῶν νησί(ων). | Ταῦτα πάντα καθέξει (καὶ) νεμηθήσεται ἡ τοιαύτη σεβασμία μονὴ τοῦ Βατοπεδίου ἀναφαιρέτως, | ἀναποσπάστως (καὶ) ἀνενοχλήτως τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλου ***λόγου*** | τῆς βασιλείας μου καθὼς δηλονότι (καὶ) ἀρτίως εὑρίσκεται κατέχουσα (καὶ) νεμομένη αὐτὰ διὰ τῶν | εἰρημένων παλαιγενῶν χρυσοβούλλων (καὶ) προσταγμάτων· ἔτι δὲ (καὶ) πρακτικῶν (καὶ) λοιπῶν δικαιωμά|των· (καὶ) οὐδεὶς τῶν ἁπάντ(ων) ἐπάξει αὐτοῖς ἐπήρειαν ἢ καταδυναστείαν (καὶ) διενόχλησιν· χεῖρα παρεμ|βαλεῖ πλεονέκτιν (καὶ) ἅρπαγα· ἀλλ᾽ ἀποσοβηθήσεται (καὶ) ἀποτραπήσεται πᾶς ὁ τοιοῦτόν τι πλεονε|κτικὸν (καὶ) ἄδικον πειραθησόμενος ἐπενεγκεῖν τοῖς τοιούτοις κτήμασι (καὶ) λοιποῖς δικαιώμασι τῆς αὐτῆς | σεβασμί(ας) μονῆς: τούτου χάριν (καὶ) ὁ παρὼν χρυσόβουλλος ***λόγος*** τ(ῆς) βασιλείας μου γεγονὼς | ἐπεχορηγήθη (καὶ) ἐπεβραβεύθη τῇ αὐτῇ σεβασμίᾳ τοῦ Βατοπεδίου μονῇ: ἀπολυθεὶς κατὰ μῆνα | Ἰούλλιον τ(ῆς) νῦν τρεχούσης δεκάτης πέμπτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἔτους | ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος: |

† ***Ἀνδρόνικος ἐν Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ πιστὸς βασιλεὺς καὶ | αὐτοκράτωρ Ρωμαίων.***

70. *Δικρύου Α, ὅπερ ὁ Regel εἰς Δικρόου διορθοῖ* 71. *τῆς βλεπούσης Α* 72. *κἀκ* 74. *χρυσοβούλλου.* 75. *ἄρτι Α* 76. *νεμομένη αὐτὰ τῶν εἰρημένων ... ἔτι δὲ καὶ πρακτικῶν δικαιωμάτων Α* 77. *χεῖρα παρεμβαλὼν Α ἢ χεῖρα παρεμβαλεῖ Β* 78. *ἀλλ᾽ ἀποσοβηθήσεται πᾶς ὁ τοιοῦτόν τι Α - ἀλλὰ ἀποτραπήσεται καὶ ἀποσοβηθήσεται πᾶς ὁ τοιοῦτόν τι Β* 80. *λοιποῖς δικαίοις Α καὶ Β* 81. *σεβασμίᾳ - μονῇ τοῦ Βατοπεδίου Α* 82. *Ἰούλιον ... πέμπτης ἰνδικτιῶνος* 83. *ἐπεσημήνατο Α*



Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

## 11.

## Χρυσόβουλλος λόγος τοῦ αὐτοκράτορος Ἀνδρονίκου Β′ τοῦ Παλαιολόγου.

*Αὔγουστος τοῦ ἔτους (6831) 1323, ἰνδ. ϛ′.*

Ἐπὶ μεμβράνης διαστάσεων 0,60×0,25 καταγεγραμμένης ὑπ. ἀρ. 1ζ ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς.

Δὲν φέρει πλέον τὴν χρυσῆν τοῦ ἀπολύσαντος αὐτοκράτορος βοῦλλαν.

Ἀφορᾷ εἰς τὴν ἐπικύρωσιν τῆς κατοχῆς καὶ νομῆς τῶν κτημάτων τοῦ «πανσεβάστου σεβαστοῦ Ἰωάννου τοῦ Ὀρέστου»· τὶς ὅμως ὁ λόγος ἕνεκα τοῦ ὁποίου ὁ χρυσόβουλλος οὗτος λόγος ἀπόκειται ἐν τῷ ἀρχειοφυλακείῳ τῆς μονῆς ἀγνοῶ. Πιθανὸν ἴσως εἶνε ὅτι Ἰωάννης οὗτος ὁ Ὀρέστης ἢ τῶν ἀπογόνων αὐτοῦ τις νὰ ἐμόνασεν ἐν Βατοπεδίῳ, ὅπερ ὡς γνωστὸν κέκτηται καὶ νῦν ἔτι ἐν Μελενίκῳ μετόχιον μετ᾽ ἀμπελῶνος, ὅπερ πιθανὸν σχετίζεται πρὸς τὴν κατὰ τὴν αὐτὴν πόλιν κτηματικὴν περιουσίαν Ἰωάννου τοῦ Ὀρέστου, τὴν ἀναφερομένην ἐν τῷ παρόντι γράμματι.

† Ὁ ⟨πανσέβαστος σεβαστὸς⟩ οἰκεῖος τῆς βασιλείας μου κὺρ Ἰω(άννης) ὁ Ὀρέστης ἀνέφερ(εν) ὅτι κέκτητ(αι) | ἐντὸς τοῦ καστρ(ου) Μελενίκου ὀσπήτια ἀπ(ὸ) γονικοτ(η)τ(ος) καὶ ἀν(θρώπ)ους γονικοὺς αὐτοῦ τιν(άς), ἤγουν | τὸν Πατσουρᾶν μετὰ τῶν παίδων αὐτ(οῦ), τοὺς υἱοὺς τοῦ Κιλεΐνου τόν τε Μιχαὴλ (καὶ) τὸν Γεώργ(ιον) | τοὺς υἱοὺς τῆς ....... τὸν Γε(ώ)ρ(γιον) (καὶ) τὸν Θεόδωρον, τοὺς παῖδ(ας) Ἰωάννου τοῦ Κατωτικοῦ λεγομ(έν)ου, | ἔτι δὲ (καὶ) εἰς τὸ ἐμπόριον τοῦ εἰρημ(έν)ου κάστρου Μελενίκου ἕτερον ὀσπήτιον καὶ ἄν(θρωπ)ον γονικὸν αὐτ(οῦ) | τὸν Ἰωάννην εὑρισκόμ(εν)ον εἰς τὸ τοιοῦτον ὀσπήτιον, ἔχοντα δὲ (καὶ) ἀμπ(έ)λ(ιον)· ἀλλὰ δὴ (καὶ) | εἰς τὸ Ῥαδοβίσδιν ἀν(θρώπ)ους δύο ἐνυποστάτους, τόν τε Βρανᾶν (καὶ) τὸν Τζυκαλ(ᾶν), οὓς | εἶχ(εν) ὁ πενθερὸς αὐτοῦ ὁ σ(εβαστὸς) ὁ Παλάτης ἐκεῖνος διὰ χρυσοβούλλ(ου) (καὶ) ἐπροικοδοτήθησ(αν) | τούτῳ παρ᾽ αὐτοῦ· κέκτηται δὲ ὡσαύτως ἐξ ἀγορασί(ας) (καὶ) καθέδραν

1. ⟨*Πανσέβαστος σεβαστὸς*⟩ *(ἐξίτηλοι καὶ μὴ ἀναγινωσκόμεναι ἐν τῷ ἀρχετύπῳ λέξεις συμπληρωθεῖσαι οὕτω ἐξ ἀναλογίας ἀπὸ τῶν στίχων 32, 33)* 2. *κάστρου . . . ὀσπήτια (πανταχοῦ ἐν τῷ γράμματι οὕτω· ὀρθὸν ὀσπίτια) . . . γονικότ(η)τ(ος) . . . αὐτοῦ τιν(ας).* 9. *τούτῳ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

εἰς τὸν ἐκεῖσε | λόγγον τὸν τοῦ Σ(εβαστοῦ) λεγόμενον μετὰ αὐλῆς (καὶ) ὀσπητίων· (καὶ) χωράφιον ἐξ ἀγορασί(ας) | ὡσαύτ(ως) ἀπὸ τοῦ Καρβονάρι (καὶ) τοῦ Λιτοβόη ἐκείνου (καὶ) ἀπὸ ἑτέρ(ων) ὡσεὶ μοδί(ων) ἑκατὸν | ἕτερον ἐκεῖσε χωράφιον μοδίων εἴκοσι πλησίον τῆς τοιαύτης καθέδρ(ας) αὐτοῦ· ἕτ(ε)ρ(ον) | ἐκεῖσε ἐκλειωματικὸν χωράφιον μοδίων δέκα· ἕτερον ἐξ ἀλλαγωγῆς χωρά|φιον ἀπὸ τοῦ Βαλδουβίνου (καὶ) ἐξ ἀγορασί(ας) ἀπὸ τοῦ Κόκκου μοδίων ὀγδοή(κοντ)α· | ὡσαύτ(ως) ἐξ ἀγορασί(ας) ἀπὸ τοῦ αὐτοῦ Κόκκου χωράφιον μοδίων ἑπτά· καὶ ἕτερον | χωράφιον ἐξ ἀγορασί(ας) ἀπὸ τοῦ αὐτοῦ Κόκκου μοδίων δέκα, ἅπερ εἶχον οἱ εἰρημένοι | ἀπὸ γονικότητος· ἕτερον χωράφιον ἐξ ἀλλαγωγῆς σὺν τῶ ἐκεῖσε λιβαδίω (καὶ) | ἐξ ἀγορασί(ας) ἀπὸ τοῦ Μαρίνου (καὶ) τ(ῶν) αὐταδέλφων αὐτοῦ μοδίων πεντήκοντα· κέκτη|ται δὲ (καὶ) ἀπὸ προικὸς γῆν μοδίων ἑκατὸν εἰς τὸν Βρίμποβον λόγγον, ἥτις ἦν | ἐξ ἀγορασί(ας) ἀπὸ τοῦ Καβαλλάρ(ι) ἐκείνου, (καὶ) μυλοτόπια δύο, ἔτι δὲ καὶ ἀμπ(έ)λ(ιο)ν | εἰς τὴν Μάλεσταν ἐξ ἀγορασί(ας) ἀπὸ τοῦ δηλωθέντος Καρβωνάρ(ι), ἐν ὧ κατεφυ|τεύθη παρ᾽ αὐτοῦ καὶ ἕτερον ἀμπέλιον μοδίων εἴκοσι, σὺν τῆ | ἐκεῖσε εὑρισκομένη χερσαία γῆ· ἕτερον ἐκεῖσε ἀμπέλιον | ἐκ προικὸς μοδίων πέντε· κέκτηται δὲ ὡσαύτως καὶ εἰς | τὸ χωρίον τὸν Κρούσοβον καθέδραν μετὰ αὐλῆς καὶ ὀσπητίων | καὶ περιβολίων· καὶ ἀμπέλια ἐν δυσὶ τόποις μοδίων δέκα | εἰς τὴν Σέλιανιν ἐλεύθερα (καὶ) ταῦτα εὑρισκόμενα καὶ ἐξ ἀγορασί(ας) | κατεχόμενα παρ᾽ αὐτοῦ, καὶ παρεκλήτευσεν ἵνα πορίσηται | ἐπὶ τούτοις (καὶ) χρυσόβουλλον τῆς βασιλείας μου· τὴν τοιαύτην | παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου, ἐπιχορηγεῖ | καὶ ἐπιβραβεύει αὐτῶ, τὸν παρόντα χρυσόβουλλον ***λόγον*** | δι᾽ οὗ προστάσσει καὶ διορίζεται κατέχειν τὸν τοιοῦτον πανσέ|βαστον σεβαστὸν οἰκεῖον τῆ βασιλεία μου τὸν Ὀρέστην τὰ ἀνωτέρω | καταμέρος δηλωθέντα, ἀναφαιρέτως, ἀναποσπάστως (καὶ) ἀνενο|χλήτως ὡς γονικά, καθὼς κατέχει ταῦτα καὶ μέχρι τοῦ νῦν· καὶ ποιεῖν | ἐπ᾽ αὐτοῖς κ(α)τ(ὰ) τὸ εἰκὸς ὅπερ ἂν καὶ βούληται καὶ ἔνι εἰς θέλησ(ιν) |

11. *Καρβωνάρι.* 17. *τῷ . . . λιβαδίῳ* 21. *ἐν ᾧ* 22. *τῇ* 23. *εὑρισκομένῃ χεραίᾳ γῇ.* 27. *Σέλιανην* 31. *αὐτῷ* 33. *τῇ βασιλείᾳ* 34. *κατὰ μέρος* 35. *μέχρι*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

αὐτοῦ· ὅθεν καὶ τῇ ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσο|βούλλου ***λόγου*** τῆς βασιλείας μου, καθέξει καὶ νεμεθή|σεται ταῦτα ἀνώτερα πάσης (καὶ) παντοίας δημοσιακῆς ἐπηρεί(ας) (καὶ) ἑτέρ(ας) | ἁπάσης διενοχλήσεως (καὶ) οὐχ εὑρήσει ἐπὶ τούτοις οὔτε παρὰ τῶν | κατὰ καιροὺς ἀπογραφομένων ἐκεῖσε, οὔτε ἀφ' ἑτέρου τινὸς διενό|χλησ(ιν) ὅλως ἢ διασεισμὸν τὸν τυχόντα, ἐπειδὴ βούλεται ἡ βασιλεία μου | καὶ ἔχει θέλημα κατέχεσθαι τὰ εἰρημ(έν)α πάντα παρ' αὐτοῦ, ὡς γονικὰ | αὐτοῦ, ἐν παντελεῖ ἀνενοχλησίᾳ· μετὰ δὲ τὴν αὐτοῦ ἀποβίωσ(ιν) | κατέχεσθαι ταῦτα κ(α)τ(ὰ) τὸν ὅμοιον τρόπον καὶ παρὰ τῶν ἐξ ὀσφύος | γνησίων παίδων καὶ κληρονόμων αὐτοῦ καὶ παρ' ἑτέρων πρὸς οὓς μέλλει | καταλεῖψαι τινὰ ἐξ αὐτῶν· τούτου γὰρ χάριν ἐγένετο αὐτ(ῷ) καὶ ὁ | παρὼν χρυσόβουλλος ***λόγος*** τῆς βασιλεί(ας) μου | ἀπολυθεὶς κ(α)τ(ὰ) μῆνα ***Αὔγουστ(ον)*** τῆς ἐνισταμένης ***ἕκτης*** | ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ | ὀκτακοσιοστοῦ ***τριακοστοῦ πρώτου*** ἔτους. | ἐν ᾧ καὶ τὸ ἡμέτερον | εὐσεβὲς καὶ θεοπρό|βλητον ὑπεσημήνατο | κράτος. ***Ἀνδρόνικος ἐν Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ | πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ | Ῥωμαίων ὁ Παλαιολόγος.*** +

## *12.*

## *Χρυσόβουλλος λόγος τοῦ αὐτοκράτορος Ἰωάννου ΣΤ' τοῦ Παλαιολόγου.*

*Αὔγουστος τοῦ ἔτους (6852) 1344, ἰνδ. ιβ'*

Ἐπὶ μεμβράνης διαστάσεων 0,60X0,25 καταγεγραμμένης ὑπ' ἀριθ. 1 ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς, φέρει ἔτι ἀνηρτημένην τὴν χρυσῆν τοῦ ἀπολύσαντος αὐτοκράτορος βοῦλλαν. Ἀφορᾷ εἰς ἀναγνώρισιν δικαίων τῆς μονῆς ἐπὶ τοῦ μετοχίου Προσφορίου καὶ τῶν παρ' αὐτὸ κτημάτων.

† Ἐπεὶ οἱ μοναχοὶ τῆς κατὰ τὸ ἅγιον Ὄρος διακειμένης σεβασμί(ας) μονῆς τ(ῆς) βασιλείας μου | τῆς εἰς ὄνομα τιμωμ(ένης) τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημέ(νης) | τοῦ

37. *τῇ.* 44. *ἀνενοχλησίᾳ.* 48. *αὐτ(ῷ)* 52. *ἐν ᾧ* 55. *Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

Βατοπεδίου, ἀνέφερον εἰς τὴν βασιλείαν μου καὶ παρεκάλεσαν, ἵνα πορίσωνται χρυσό|βουλλον αὐτῆς, καὶ κατέχωσιν εἰς τὸ ἑξῆς ἀνενοχλήτως καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέ|τως καὶ ἀναποσπάστως, μετόχιον τὸ καλούμενον Προσφόριον, ὅπερ ἔχουσι (καὶ) μέχρι του | νῦν, μετὰ πάσης τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ καὶ των ἐκεῖσε προσκαθημένων, ἔτι τὲ (καὶ) τοῦ | ἀνεγερθέντος ἐκεῖσε παρ᾽ αὐτ(ῶν) πύργου, τῆς δεήσεως αὐτῶν ἡ βασιλεία μου εὐμενῶς ἐπακού|σασα, τὸν παρόντα χρυσόβουλλον ***λόγον*** ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς, | δι᾽ οὗ προστάσσει θεσπίζει καὶ διορίζεται, ἵνα κατέχωσιν οὗτοι καὶ εἰς τὸ ἑξῆς, τὸ εἰρημένον μετόχιον | τοῦ Προσφορίου μετὰ πάσης τῆς περιοχῆς (καὶ) νομῆς καὶ παλαιγενῶν προσταγμάτων (καὶ) λοιπῶν | διαφόρων δικαιωμάτων, ἅ καὶ οὕτως ἐξ ὀνόματος ἔχουσιν· τὸ ὅλον πλάγην μετὰ τῆς μ(άν)|δρας τῶν ἀγελαδών· ἔτι δὲ καὶ τὰ καλὰ δένδρα ἔχοντα γῆν μοδίων ρ´ πλησίον αὐτοῦ τὸ ἐπι|κεκλημένον Μακηδονίσει μετὰ τοῦ καταρρέοντος ὕδατος ἀπὸ τῆς μεγάλης Βίγλης μέχρι | τῶν δύο ἀκροτιρίων τῶν ἐν τῆ θαλάσση· πλησίον τοῦ πάλε κάστρου, ἑτέρα γῆ τῆς ἐπιλεγο|μένης Συκαμιναίας ἔχοντα μοδίων ρ´· ἕως τὸ χωράφιον πλησίον τὸ ἐπικεκλημένον | Κακὸ διάβα, ἔχοντες ἐπ᾽ ἀδείας συνιστᾶν καὶ βελτιοῦν αὐτά, καὶ ἐπι το κρεῖττον προάγειν, | κατὰ τὸν ἐγχωροῦντα καὶ δυνατὸν αὐτοῖς τρόπον, καὶ ὡς βούλονταί τε (καὶ) δύνανται, μηδαμῆ | μηδόλως εὑρίσκοντες παρά τινος τῶν ἁπάντων χάριν τούτου τὴν οἱανδήτινα διενόχλησ(ιν)· | τῆ γοῦν ἰσχύϊ (καὶ) δυνάμει τοῦ παρόντος χρυσοβούλλου ***λόγου*** τῆς βασι|λείας μου καθέξουσι (καὶ) νεμηθήσονται οἱ εἰρημένοι μοναχοὶ τῆς δηλωθείσης σεβασμί(ας) | μονῆς τοῦ Βατοπεδίου τὸ δηλωθὲν μετόχιον τοῦ Προσφορίου, μετὰ πάσης τῆς νομῆς (καὶ) περι|οχῆς καὶ τῶν δικαίων αὐτοῦ, ὅπερ ἔχουσιν ἀρτίως μετὰ (καὶ) τοῦ ἀνεγερθέντος παρ᾽ αὐτῶν ἐκεῖσε | πύργου, ἀνενοχλήτως παντάπασι καὶ ἀδιασείστως, ἔτι τὲ ἀναφαιρέτως καὶ ἀναποσπάστως· | καὶ μετ᾽αὐτοὺς οἱ κατὰ διαδοχὴν ἐν τῆ τοιαύτη σεβασμία μονῆ ἀσκούμενοι μοναχοί· καθέξουσι | δὲ ὡσαύτως οὗτοι κατὰ τὸν ἴσον (καὶ)

6. *τοῦ νῦν ... ἔτι τε.* 11. *πλάγιν* 12. *ἀγελάδων* 13. *Μακεδονῆσι* 14. *ἀκρωτηρίων... τῇ θαλάσσῃ... πάλαι* 15. *Συκαμινέας ἔχουσα* 17. *ἐπὶ τὸ ... μηδαμῇ.* 19. *τῇ* 23. *ἔτι τε* 24. *τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

ὅμοιον τρόπον μὴ δὲ εἰς αὐτοὺς εὑρίσκοντες παρά τινος ἐπὶ τού|τοις τὴν οἱανδήτινα καταδυναστείαν ἢ διενόχλησιν· ἐπεὶ τούτου ἕνεκεν ἐγένε|το αὐτοῖς καὶ ὁ παρῶν χρυσόβουλλος ***λόγος*** τῆς βασιλείας μου, ἀπολυθεὶς | κατὰ μῆνα ***Αὔγουστον*** τῆς ἐνισταμένης ***δωδεκά-της*** ἰνδικτιῶνος τοῦ | ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ***πεντηκοστοῦ δευτέρου*** ἔτους | ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς | καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.|

***† Ἰω(άν)ν(ης) ἐν Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ πιστὸς βασι|λεὺς καὶ αὐτοκράτωρ Ῥωμαί(ων) ὁ | Παλαιολόγος.***

## *13.*

## ***Χρυσόβουλλος λόγος τοῦ αὐτοκράτορος Ἰωάννου τοῦ ΣΤ΄ τοῦ Παλαιολόγου***

*Αὔγουστος τοῦ ἔτους (6852) 1344, ἰνδ. ιβ΄.*

Ἐπὶ μεμβράνης διαστάσεων 0,70×0,32 καταγεγραμμένης ὑπ᾽ ἀριθ. 8ω ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς. Φέρει ἔτι ἀνηρτημένην τὴν χρυσῆν τοῦ ἀπολύσαντος αὐτοκράτορος βοῦλλαν. Ἀφορᾷ τὸ μὲν εἰς ἀναγνώρισιν τῶν δικαίων τῆς μονῆς ἐπὶ τοῦ μετοχίου Προσφορίου καὶ τῶν περὶ αὐτὸ κτημάτων, τὸ δὲ εἰς καθορισμὸν τῶν ὁρίων τῆς διανομῆς τοῦ χωρίου Μιχαὴλ μεταξὺ τῶν μονῶν Βατοπεδίου καὶ Ἐσφιγμένου. Ὅθεν εἶνε σχετικὸς ὡς πρὸς τοῦτο πρὸς τὸν ὑπ᾽ ἀριθ. 10 τῆς παρούσης ἐκδόσεως χρυσόβουλλον λόγον τοῦ αὐτοκράτορος Ἀνδρονίκου Β΄ τοῦ Παλαιολόγου (1292). Ἐπαναλαμβάνεται καὶ ἐν τῷ χρυσοβούλλῳ τούτῳ λόγῳ ἡ εἴδησις περὶ τῆς ὑπὸ τοῦ Αὐτοκράτορος Ἀλεξίου Α΄. τοῦ Κομνηνοῦ διαταχθείσης μετοικήσεως τῶν λαϊκῶν κατοίκων τοῦ ἁγίου Ὄρους εἰς Πελοπόννησον.

† Ἐκ ψυχῆς αὐτεξουσίου (καὶ) νοερᾶς (καὶ) σώματος ὑπεξουσίου (καὶ) αἰσθητικοῦ καταρχὰς ἐπλάστη ὁ ἄνθρωπος παρὰ τοῦ πάντων Θεοῦ | (καὶ) δημιουργοῦ δεσπότου τοῦ παντός· (καὶ) βασιλεὺς τῶν ἐπὶ γῆς γεγονὼς ὑπὸ μόνου τοῦ Θεοῦ βασιλεύεσθαι· τὴν θείαν δὲ | παραβὰς ἐντολήν, τοῦ ὑπεξουσίου ἐπαναστάντος τῷ αὐτεξουσίῳ,

25. *μηδὲ* 27. *παρών.* 30. *ἐν ᾧ* 32. *Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ.*
1. *κατ᾽ ἀρχὰς ἐπλάσθη*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

(καὶ) Θεὸς ἐπιθυμήσας οὐ γέγονεν· ἀλλὰ τῇ | λιχνεύσει τῆς θεώσεως ὑπετάγη τὸ αὐτεξούσιον τῷ ὑπεξουσίῳ παρὰ φύσιν· διὰ τοῦτο ὑπὸ τοῦ Θεοῦ | ἐξόριστον τὸ ἀνθρώπινον γίνεται γένος· (καὶ) τῆς ἁμαρτίας πληθυνομένης αὐτῷ, ἵνα μὴ δίκην ἰχθύων οἱ ἰσχυ|ρότεροι τῶν ἀνθρώπων τοὺς ἀσθενεστέρους καταπίνωσιν, ὁ Θεὸς τοὺς ἀνθρώπους ἄρχειν τῶν ἀνθρώπων | ὡς φιλάνθρωπος ὢν ᾠκονόμησεν· ἐπεὶ δὲ, ὡς ἔφημεν, ἐκ ψυχῆς νοερᾶς (καὶ) σώματος αἰσθητικοῦ τὸ ἀν|θρώπινον ἅπαν συνέστηκε γένος, (καὶ) δύο ἀρχηγοὺς ἐπεβράβευσεν αὐτῷ, ἤγουν ἱεροσύνην (καὶ) βασιλείαν, ἵνα | τῇ μὲν ἱεροσύνῃ τὸ αὐτεξούσιον ποδηγεῖται (καὶ) διακυβερνᾶται πρὸς τὰ θεῖα κτήματα, τῇ δὲ βασι|λείᾳ τὸ ὑπεξούσιον ῥαύδῳ (καὶ) μαχαίρᾳ, φόβων ὄντων ἄκον ὑποκλίνηται τῷ φύσει δεσπόζοντι· διὸ κατ᾽ ἄμ|φω τὴν δεσποτείαν ὅ,τε ἀρχιερεὺς (καὶ) ὁ βασιλεὺς ἐπικέκληνται, μόνοι λαχόντες ἐκ θεοῦ βασιλεύεσθαι.|

Ἐπεὶ τοίνυν οἱ μοναχοὶ τῆς κατὰ τὸ ἅγιον Ὄρος διακειμένης μονῆς σεβασμίας τῆς βασιλείας μου τῆς εἰς | ὄνομα τιμωμένης τῆς πανυπεράγνου δεποίνης (καὶ) θεομήτορος, ἐπικεκλημένης τοῦ Βατοπεδίου, ἀνέφερον | πρὸς τὴν βασιλείαν μου πῶς ἐνοχλοῦσιν αὐτοὺς τὰ περικύκλω αὐτῶν μονήδρια (καὶ) παρεκάλεσαν, ἵνα πορί|σωνται χρυσόβουλον αὐτῆς (καὶ) κατέχωσιν εἰς τοεξῆς ἀνενοχλήτως (καὶ) ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως (καὶ) | ἀναποσπάστως· ἡ γοῦν βασιλεία μου τὴν αὐτῶν εὐμενῶς ταύτην προσηκαμένη αἴτησιν (καὶ) παρά|κλησιν ἐπιχορηγεῖ αὐτοῖς τὸν παρόντα χρυσόβουλλον ***λόγον*** αὐτῆς, δι᾽ οὗ προστάσσει (καὶ) ὁρίζε|ται κατέχειν (καὶ) εἰς τοεξῆς τὴν κατ᾽ αὐτοὺς τοιαύτην σεβασμίαν μονὴν πάντα τὰ ἀνέκαθεν (καὶ) μέ|χρι τοῦ παρόντας ἀδιαστίκτως κατεχόμενα (καὶ) δεσποζόμενα παρ᾽ αὐτῆς κτήματά τε καὶ λοιπὰ δίκαια· | μετόχιον τὸ καλούμενον Προσφόριον μετὰ πάσης τῆς περιοχῆς (καὶ) νομῆς (καὶ) παλαιγενῶν προσταγ|μάτων (καὶ) λοἴπῶν διαφόρων δικαιωμάτων, ἃ (καὶ) οὕτως ἐξ ὀνόματος ἔχουσιν· ὅλον τὸ πλάγιον μετὰ τῆς | μάνδρας τῶν ἀγελαδῶν· ἔτι δὲ καὶ τὰ καλὰ δένδρα ἔχοντα γῆν μοδίων ρ´· πλη-

8. *ἱερωσύνην* 9. *ἱερωσύνῃ . . . ποδηγῆται.* 10. *ῥάβδῳ . . . ἄκον* 14. *περικύκλῳ . . . μονύδρια* 15. *χρυσόβουλλον . . . τὸ ἐξῆς.* 18. *τὸ ἐξῆς* 22. *ἀγελάδων*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

σίον αὐτῶν τὸ ἐπικεκλη|μένον Μακηδονίσει μετὰ τοῦ καταῤῥέοντος ὕδατος ἀπὸ τῆς μεγάλης βίγλης μέχρι τῶν δύο ἀκροτηρίων τῶν | ἐν τῇ θαλάσσῃ ἀντικρὺ τοῦ παλαιοῦ κάστρου· ἑτέραν γῆν τὴν ἐπιλεγομένην τῆς Συκαμιναίας ἔχουσ(αν) | μοδίων ρ´ ἕως τοῦ χωραφίου πλησίον τοῦ ἐπικεκλημένου Κακοδιάβα· ὁμοίως ἐπειδὴ (καὶ) οἱ πρώην βασιλεῖς τῶν | Ῥωμαίων δέδωκαν τὸ χωρίον τοῦ Μιχαὴλ τὸ νῦν λεγόμενον Παλαιοχωρίον τὸ διακείμενον εἰς τὸ ἅγιον Ὄρος, ἵνα | ὑπηρετήσῃ τῇ σεβασμίᾳ μονῇ τῆς βασιλείας μου τοῦ Βατοπεδίου (καὶ) ὁ πρὸ ἡμῶν βασιλεύσας κύριος Ἀλέξιος | ὁ Κομνηνὸς ἐμετοίκησε τὰ χωρία ἀπὸ τοῦ ἁγίου Ὄρους εἰς τὴν Πελοπόνησον, ἔμεινεν ἡ χῶρα τοῦ Μιχαὴλ ἡ νῦν λε|γομένη Παλαιαχωρίον, ἔμειναν (καὶ) οἱ τόποι τοῦ Παλαιοχωρίου τοῦ Μιχαὴλ ὑπὸ τὴν δεσποτείαν τῆς μονῆς τῆς | βασιλείας μου τοῦ Βατοπεδίου· ἀλλ᾿ ἐπειδὴ πολλὰ ἔχουσι ζῶα ἐνοχλοῦντα τὴν μονὴν τοῦ Ἐσφιγμένου, ἐλθὼν | πρὸς τὴν βασιλείαν μου ὁ καθηγούμενος τῆς μονῆς τοῦ Ἐσφιγμένου (κῦρ) Γερμανὸς (καὶ) οἱ ἐν τῇ αὐτῇ μονῇ ἀσ|χολούμενοι μοναχοὶ παρικέτευσαν τὴν βασιλείαν μου περὶ τοῦ χωρίου τοῦ Μιχαὴλ τοῦ νῦν λεγομένου Πα|λαιοχωρίου· ἡ βασιλεία μου τὴν τούτων δέησιν προσηκαμένη εὐδοκεῖ τὰ περὶ τούτου προστάσει ἡ βα|σιλεία μου (καὶ) διαχωρίζει τὰ ὅρια τοῦ Παλαιοχωρίου τοιούτως· ἄρχεται ἐκ τῆς θαλάσσης ἐκ τῆς ῥά|χιος τῆς οὔσης ἀντικρὺ τοῦ χωρίου τοῦ Μιχαὴλ τοῦ λεγομένου Παλαιοχωρίου, ἐκ πέτρας ἱσταμένης ὀρθῆς | (καὶ) πλατείας τῆς βλεπούσης πρὸς ἄρκτον (καὶ) ἔρχεται ἄνωθεν εἰς μικρὰν πεδιάδα, κἀκεῖθεν ἔχων τὴν αὐτὴν | ῥάχιν ἀνέρχεται εἰς τὴν τούμβαν πλησίον τῆς ὁδοῦ τῆς ἐρχομένης ἐκ τῆς μονῆς τοῦ Ἐσφιγμένου, καὶ κρα|τῶν δεξιᾷ λαμβάνει τὰ καταῤῥέοντα ὕδατα, (καὶ) ἔρχεται ἄνωθεν εἰς τὴν τρανὴν ῥάχιν, εὑρίσεται τὰ καταῤ|ῥέοντα ὕδατα (καὶ) τὸ χωρίον τοῦ Μιχαὴλ τὸ Παλαιοχωρίου σὺν τοῖς καταῤῥέουσιν ὕδασι· ταῦτα δέδωκα τῇ μονῇ | τοῦ Ἐσφιγμένου (καὶ) ἐκ τῶν ὁρίων αὐτῶν μηδαμῶς ἐχέτω μηδὲν ποιεῖν τι κατ᾿ αὐτῶν ἡ σεβασμία μονὴ τῆς βα|σιλείας μου τοῦ Βατοπεδίου, μήτε τὰ ζῶα αὐτῶν ἐνόχλησιν μήτε αὐτοὶ οἱ μοναχοὶ σκάνδαλα μεταξὺ αὐτ(ῶν) | παρεχέτωσαν αὐτοῖς· ἔτι κἀκ τῆς αὐτῆς τρανῆς ῥάχιος ἔρχεται εἰς

23. *Μακεδονῆσι... ἀκρωτηρίων.* 25. *Συκαμινέας* 26. *πρῴην* 28. *ἐμετοίκησε: δημώδης τύπος ἀντὶ τοῦ μετῴκισε ... Πελοπόννησον ... χώρα* 30. *ζῷα.* 34. *προστάσσει* 37. *κἀκεῖθεν... τοῦμβαν* 39. *εὑρίσκεται* 41. *ζῷα* 42. *κἀκ ..,*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

τὴν ὑψηλοτέραν Τούμβαν τὴν πε|τρωτὴν ἀποβλέπουσαν κάτω εἰς τοῦ Σπανουβαρνάβα· κἀκεῖθεν διαπερᾷ τὰς τρεῖς τούμβας (καὶ) ἔρ|χεται εἰς τὴν σελάδα εἰς τὴν ῥιζημαίαν πέτραν τὴν σχιστὴν πλησίον τῆς ὁδοῦ τῆς ἐρχομένης εἰς τὰς | Καρύας· ἔχων τὴν αὐτὴν ὁδὸν ἔρχεται εἰς τὸν στ(αυ)ρὸν τοῦ Μακριγένους πλησίον τοῦ κρύου ὕδατος καὶ | περικυκλοῖ τὸ Κρυόβουνον, κατέρχεται εἰς τὴν σελάδα εἰς τὸ σύνορον τὸ Προτατινόν· κρατῶν ἀριστερᾷ τὸν | κατερχόμενον ῥύακα πλησίον τοῦ κρύου ὕδατος μένων ἀριστερᾷ πλησίον τῆς πέτρας τῆς βλεπούσ(ης) | κατὰ ἀνατολὰς τῆς ἐχούσης σχῆμά τι μήτης, κατέρχεται τὸν αὐτὸν ῥύακα εἰς τὴν περιοχὴν τοῦ | ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ Στούμπου, κρατῶν τὴν αὐτὴν περιοχὴν ἔρχεται τὸ κάταντες εἰς τὴν | περιοχὴν τοῦ ἁγίου Νικολάου τοῦ Στούμπου μέχρι τοῦ βαθέως ῥύακος, αὖθις ἔρχεται ἄνωθεν | τὸν ῥύακα μέχρι τῶν Δικροῶν, (καὶ) σχίζων τὴν ῥάχιν δισσῶς ἔρχεται εἰς τὴν ὁδὸν τὴν βλέπουσαν κ(α)τ(ὰ) | ἀνατολὰς δι᾽ ἧς ὁδοῦ ἔρχεται εἰς τὴν περιοχὴν τοῦ Φαλακροῦ, κἀκ τῆς αὐτῆς περιοχῆς κατέρχεται | εἰς τὴν θάλασσαν ἀντικρὺ τῶν νησίων· ταῦτα πάντα καθέξει (καὶ) νεμηθήσεται ἡ τοιαύτη σεβασμία | μονὴ τοῦ Βατοπεδίου ἀναφαιρέτως (καὶ) ἀναποσπάστως (καὶ) ἀνενοχλήτως τῇ ἐμφανείᾳ τοῦ παρόντος | χρυσοβούλλου ***λόγου*** τῆς βασιλείας μου (καὶ) οὐδεὶς τῶν ἁπάντων ἐπάξει αὐτοῖς ἐπήρει(αν) | ἢ κατὰ δυναστείαν (καὶ) διενόχλησιν· τούτου χάριν καὶ ὁ παρὼν χρυσόβουλλος ***λόγος*** τῆς | βασιλείας μου γεγονὼς ἐπεχορηγήθη (καὶ) ἐπεβραβεύθη τῇ τοιαύτῃ σεβασμίᾳ τοῦ Βατοπεδίου μο|νῇ, ἀπολυθεὶς κ(α)τ(ὰ) μῆνα ***Αὔγουστον*** τῆς ἐνισταμ(έν)ης ***δωδεκάτ(ης)*** ἰνδικτιῶνος τοῦ ἑξάκις χιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ | ***δευτέρου*** ἔτους· ἐν ᾧ (καὶ) τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος |

† ***Ἰω(άνν)ης ἐν Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ | Ῥωμαίων ὁ Παλαιολόγος.***

*τοῦμβαν* 43. *κἀκεῖθεν* 44. *σελλάδα . . . ῥιζιμαίαν* 45. *Μακρυγένους (ὡς καὶ ἀλλαχοῦ κεῖται)* 46. *σελλάδα. . . Πρωτατηνὸν (;)* 48. *μύτης* 50. *βαθέος* 51. *Δικροῶν: (ἀλλαχοῦ ἐν γράμμασι δημοσιευομένοις ἐνταῦθα Δικρύου)* 52. *κἀκ.* 56. *καταδυναστείαν* 58. *ἑξακισχιλιοστοῦ* 59. *ὑπεσημήνατο.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

## 14.

## *Χρυσόβουλλος λόγος τοῦ βασιλέως τῆς Σερβίας Στεφάνου Δουσάν.*

*Ἀπρίλιος τοῦ ἔτους (6856) 1348, ἰνδ. α'*

Ἐπὶ χάρτου διαστάσεων 0,40×0,30, ὑπ' ἀριθ. 2 ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς. Αἱ ἐν στίχῳ 26 στιγμαὶ ἀντὶ λέξεως τελείως ἐξιτήλου καὶ μὴ ἀναγινωσκομένης, ἧς τὴν πιθανὴν συμπλήρωσιν προτείνομεν κατ' ἀναλογίαν ἐκ τοῦ ὑπ' ἀριθ. 16 γράμματος. Ὑπὸ τὸ γράμμα κεῖται σλαβωνιστὶ ἡ ὑπογραφὴ τοῦ ἀπολύσαντος αὐτὸ Σέρβου βασιλέως, ἧς τήν τε ἀνάγνωσιν καὶ μεταγλώττισιν ὀφείλομεν εἰς τὸν Μακαριώτατον Μητροπολίτην Ἀθηνῶν κύριον Χρυσόστομον Παπαδόπουλον. Ἡ ὑπογραφὴ ἐν μεταφράσει ἔχει οὕτω: «Στέφανος δοῦλος Χριστοῦ τοῦ Θεοῦ πιστὸς βασιλεύς».

† Πολλῶν καὶ μεγάλων δωρεῶν ἀπολαύσας παρὰ τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος, ἐπεὶ καὶ πάντα τὰ κ(α)τ' ἐμαυτὸν εἰς τὴν προστασίαν (καὶ) βοήθειαν | αὐτῆς ἀνεθέμην καὶ διὰ τοῦτο πολλ(ὰς) ὀφείλων αὐτῆ τὰς ἀμοιβὰς (καὶ) δι' ἔργων εὐχαριστί(ας) ἐπειδήπερ καὶ νῦν βοηθεία καὶ ἀντιλήψει αὐτῆς ἠξιώθην καὶ τῆς ἐκ πολλῶν τῶν χρόν(ων) ἐνούσης μοι | θερμοτάτης εφέσεως καὶ ἦλθον εἰς τόδε τὸ ἅγιον καὶ ἱερὸν Ὄρος καὶ προσεκύνησα αὐτὴν ἐν τῆ σεβασμία μονῆ τῆ εἰς ὄνομα ταύτης καὶ ἐπικεκλημ(έν)η τοῦ Βατοπεδίου διά τε | τὰς εἰς ἐμὲ ῥηθείσας εὐεργεσί(ας) αὐτῆς, ἅμα δὲ (καὶ) διὰ τὸν πόθον ὃν ἐξ ἀρχῆς ἔσχον καὶ κατεβάλλοντο εἰς τὴν τοιαύτην σεβασμίαν μονὴν οἱ ἀοίδιμοι καὶ μακαρῖται πρόγονοι τ(ῆς) βασι|λεί(ας) μου, ἀλλὰ δὴ (καὶ) διὰ την θερμὴν ἀγάπην ἣν ἰδίως τρέφει ἡ βασιλεία μου εἰς τὴν τοιαύτην μονήν, τὸν παρόντα χρυσόβουλλον ***λόγον*** ἐπιχορηγοῖ καὶ ἐπιβραβεύει ἡ βασιλεία μου | πρὸς αὐτήν, δι' οὗ προστάσσει (καὶ) διορίζεται κ(α)τέχειν καὶ νέμεσθαι τὴν τοιαύτην σεβασμίαν μονὴν πάντα ὅσα κέκτηται μετόχια ἀρτίως διά τε παλαιγενῶν χρυσοβούλλων κ(αὶ) | τῆς βασι-

2. *αὐτῇ ... βοηθείᾳ* 3. *ἐφέσεως ... τῇ σεβασμίᾳ μονῇ τῇ ... ἐπικελημ(έν)η* 4. *κατεβάλοντο(;)* 5. *τὴν ... ἐπιχορηγεῖ.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

λεί(ας) μου καὶ δι' ἑτέρων δικαιωμ(ά)τ(ων), ἤγουν κτήματα, πύργους, μετόχια ἐν τῇ Καλαμαρία διακείμενα καὶ ἀλλαχοῦ, ἀλλὰ δὴ καὶ τὸ ἐπιχορηγηθὲν ἀρτίως τῇ τοιαύτη | σεβασμία μονῇ χωρίον τὸν ἅγιον Μάμαντα διὰ χρυσοβούλλου τῆς βασιλεί(ας) μου μετὰ πάσης τῆς νομῆς καὶ περιοχῆς αὐτ(οῦ), καθὼς προκατεῖχον αὐτὸ καὶ οἱ Βαρβαρηνοὶ στρατιῶται, ἐφ' ᾧ δὴ | χωρίω προωκοδόμησε καὶ πῦργον ἡ τοιαύτη σεβασμία μονὴ εἰς τὸ ἀρχαῖον αὐτῆς ἐκεῖσε μετόχιον, τὸ εἰς ὄνομα τιμώμενον τοῦ μεγαλομάρτυρος Γεωργίου· ὡσαύτως (καὶ) τὴν σκάλαν τῶν | Λεονταρίων καὶ τὸ παρασκάλιον τῆς μικρᾶς θαλάττης, ἃ καὶ αὐτὰ ἐκέκτηντο οἱ δηλωθέντες Βαρβαρηνοί· καὶ τὴν γῆν τοῦ Μουζάκη, τὴν ἐκεῖ πλησιάζουσαν, τ(ῶν) τριακοσί(ων) μοδί(ων)· καὶ τὴν διὰ προσ|τάματος τ(ῆς) βασιλεί(ας) μου δωρηθεῖσαν γῆν τῇ τοιαύτη μονῇ, τῆς τε Τζακωνίσσης ἐκείνης τοῦ Ἀμνοῦ ὁμοί(ως) καὶ ἑτέρ(ων) ἐποίκ(ων) Θεσσαλονίκης ἀμπ(έ)λ(ια) καὶ χωράφια ὅσα ἐκέκτηντο οὗτοι ἐν τῷ περιορισμῷ τούτω | καὶ τοὺς ἐκεῖσε καθημ(έν)ους Κασανδρηνούς, μετὰ τῶν ἐν τῇ νήσω Κασανδρία γονικῶν αὐτῶν στάσεων καὶ τοὺς νομαδιαίους τόπους τοὺς ἐν αὐτῇ, οὓς ἄνωθ(εν) ἐκ μακρ(ῶν) χρόν(ων) κ(α)τέχει ἡ τοιαύτη σεβασμία μονῇ, ἀλλὰ καὶ ὅσον ἐδί|δου αὕτη χάριν νομῆς τῶν ταύτης ζώων, ἐκκόπτει ἀρτίως καὶ τοῦτο ἡ βασιλεία μου· ἐπιβραβεύει ἀρτίως ἡ βασιλεία μου τῇ τοιαύτη μονῇ (καὶ) τοὺς ἐν τῷ μετοχίω αὐτῆς περὶ τὴν Ἑρμίλειαν εὑρισκομ(έν)ους παροίκ(ους) τινῶν | ἐποίκων Θεσσαλονίκης, οὓς κ(α)τεῖχ(εν) ὁ οἰκεῖος τῇ βασιλεία μου ἔπαρχος ὁ Ἴσαρις μετὰ τῶν ὑποστάσεων αὐτ(ῶν) καὶ τὰ πλησίον τοῦ ἐκεῖ ποταμοῦ ἐκλειωματ(ικ)ὰ χωράφια· ὁμοίως καὶ τὸ εἰς τὰ Σιδηροκαύσια μετό|χιον αὐτῆς τὴν Σπηλαιώτισσαν καὶ τ(οὺς) ἀφιερωθέντας ἐν αὐτῇ παροίκ(ους) παρὰ τοῦ Καβάσιλα, καὶ ὅσα ἄλλα δίκαια αὐτοῦ ἀφιέρωσ(εν) ὁ τοιοῦτος· ὁμοίως περὶ τὰς Σέρρας οσα ἀφιέρωσ(εν) ὁ Φωκό|πουλος γονικὰ αὐτ(οῦ), ἀμπ(έ)λ(ια) καὶ χωράφια καὶ μύλω-

7. *τῇ Καλαμαρίᾳ ... τῇ τοιαύτῃ* 8. *σεβασμίᾳ μονῇ ... στρατιῶται ... ἐφ' ᾧ* 9. *χωρίῳ προῳκοδόμησε ... πύργον.* 11. *τῇ τοιαύτῃ μονῇ ... τῷ περιορισμῷ τούτῳ* 12. *τῇ νήσῳ Κασανδρείᾳ ... αὐτῇ ... μονὴ* 13. *ζῴων ... τῇ τοιαύτῃ μονῇ ,.. τῷ μετοχίῳ.* 13. *Ἑρμύλειαν* 14. *τῇ βασιλείᾳ* 15. *αὐτῇ ... ὅσα ...*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

ν(ας) τ(οὺς) πλησίον τοῦ παραπορτίου· καὶ τὰ ἐντὸς τοῦ κάστρου ὀσπήτια αὐτοῦ μετ(ὰ) τ(ῆς) νομῆς καὶ περιοχῆς αὐτ(ῶν) καὶ γῆν τὸν Θολὸν γονικ(ὴν) αὐτ(οῦ) μοδίων | πεντακοσίων· ὁμοί(ως) περὶ τὸ κάστρον Ζιχνῶν ὅσα ἀφιέρωσ(εν) ὁ Δρύϊνος ἐκεῖνος καὶ ὁ οἰκεῖος τῇ βασιλείᾳ μου κῦρ Μάρκος ὁ Ἄγγελος εὐκτήρια, ὀσπήτια, χωράφια καὶ ἀμπ(έ)λ(ια) ἐκ γονικῆς αὐτῶν | ὑποστάσε(ως), ὅσα (καὶ) οἷα εἰσίν· ὡσαύτως καὶ ὅσα ἀφιέρωσ(εν) ὁ οἰκεῖος τῇ βασιλείᾳ μου μέγ(ας) ἑταιρειάρχης κῦρ Ἰωάννης ὁ Μαργαρίτης δι᾽ ὁρισμοῦ τῆς βασιλεί(ας) μου, ὅσον ἐκέκτητο περὶ τὴν Δράτζοβαν τὸ | χωρίον καὶ γῆν εἰς τὴν μικρὰν Νεβόλιαν(ην), καὶ ὅσον εἶχεν εἰς τὴν Καισσαρόπολιν, ἅτινα προκατεῖχε διὰ χρυσοβούλλου τοῦ βασιλέ(ως) τῶν Ῥωμαίων (καὶ) λοιπῶν δικαιωμ(ά)τ(ων) ὁμοί(ως) (καὶ) διὰ χρυσοβούλλου | τῆς βασιλείας μου· ἀλλὰ δὴ καὶ τὴν εἰς τὴν Χρυσούπολιν γῆν αὐτοῦ, καὶ ἐντὸς τοῦ κάστρου ἐκκλησίαν (καὶ) ὀσπήτιν· ὁμοί(ως) καὶ ὅσα ἀφιέρωσ(εν) ὁ οἰκεῖος τῇ βασιλείᾳ μου κριτὴς τοῦ φοσσάτου ὁ Μαυροφόρος | ἀπό τε προικὸς αὐτ(οῦ) καὶ γονικότητος καὶ ἐξ ἀγορασί(ας), τά τε ἐντὸς κάστρου ὀσπήτια (καὶ) ἐκτὸς ἀμπέλια καὶ χωράφια, μετὰ παντὸς τοῦ εἰς τὸ Γραδίστιν καθίσματος, τοῦ περιβολίου (καὶ) τ(ῶν) οἰκημ(ά)τ(ων) | (καὶ) πάσης τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ· καὶ τὰ χωράφια ἅπερ εἶχε διὰ χρυσοβούλλου· ἔτι ἐπιχορηγοῖ ἡ βασιλεία μου τῇ τοιαύτῃ μονῇ τὸ κ(α)ταρρέον ἀπὸ τ(ῆς) Σανιανῆς ὕδωρ, ὡσὰν νέμηται | ἀκωλύτως καὶ χρῆται αὐτῷ ὁπότε βούλοιτο ἀνεμποδίστως πάντῃ καὶ χωρὶς τινὸς βάρους καὶ (ἐπιθ)έσεως· ὡσαύτως (καὶ) τὸ εἰς τὴν Δράμαν μετόχιον τῶν ἁγίων (καὶ) θαυματουργ(ῶν) Ἀναργύρων μετὰ πάσης | τῆς νομῆς (καὶ) περιοχῆς αὐτοῦ καθὼς προευηργέτησε τοῦτο ἡ βασιλεία μου πρὸς αὐτήν· ὡσαύτως καὶ τὴν εἰς τὴν Χρυσούπολ(ιν) γῆν τὴν ἀπὸ τοῦ Λάσκαρι τοῦ ἐπὶ τ(ῆς) τραπέζης τ(ὴν) ὀνομαζομ(έν)ην Ἀλευροῦν | μοδί(ων) οὖσαν πεντακοσίων, καὶ ἑτέραν πλησίον τοῦ κάστρου μοδί(ων) ἑκατὸν πεντήκοντα, καὶ ἐντὸς τοῦ κάστρου τόπον, ὃν ἐκράτησ(εν) ὡς

*ὀσπήτια.* 17. *τῇ βασιλείᾳ... ὀσπήτια* 18. *τῇ βασιλείᾳ* 20. *ὀσπήτιν... τῇ βασιλείᾳ.* 21. *ὀσπήτια* 22. *ἐπιχορηγεῖ... τῇ τοιαύτῃ μονῇ* 23. *αὐτῷ... πάντῃ... (ἐπιθ)έσεως: τὴν ἡμιεξίτηλον ταύτην λέξιν συμπληροῦμεν ἐξ ἀναλογίας πρὸς ἕτερον δημοσιευθησόμενον γράμμα.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

οἰκεῖον ὁ μέγας παπί(ας) ὁ Τζαμπλάκ(ων) ἐπικυροῖ ἡ βασιλεία μου καὶ ἐπι|κυροῖ καὶ τὸ παρὰ τοῦ πρώτου δοθὲν αὐτῇ κελλίον ἐντὸς τοῦ Ὄρους τὸ ἐπονομαζόμενον τοῦ ....... (ὅθεν) τῇ ἰσχύει (καὶ) δυνάμει τοῦ παρόντος χρυσοβούλλου ***λόγου*** | τῆς βασιλεί(ας) μου καθέξει καὶ νεμηθήσεται ἡ τοιαύτη σεβασμία μονὴ τοῦ Βατοπεδίου ἀναφαιρέτως καὶ ἀναποσπάστως ἔτι τὲ ἀνενοχλήτως καὶ ἀδιασείστως καὶ οὔτε οἱ νῦν κεφαλαττικεύοντες ζουπάνοι | οὔτε οἱ διαδεξόμενοι τούτους, οὔτε μὴν οἱ τὰ τοῦ δημοσίου ἢ τὰ τῆς ἀπογραφῆς διεργοῦντες ἔξουσι ποτὲ ἄδειαν διενοχλῆσαι ἢ ὅλως πόδα βαλεῖν ἐν τοιούτοις μετοχίοις (τῆς) μονῆς λέγω δὲ τοῖς ἐν τω | Στρυμμόνι, τῇ Ζαβαρνικεία, τῇ Χοτολίβον, ἐν τῇ Δράμα, τὰ Ζίχνα, ταῖς Σέρραις, τῇ Θεσσαλονίκη, τῶ Ῥαφαλίω, τῶ Κρυμωτᾶ, τῇ Κριτζίστη, τῇ Βερροία, τῶ ἁγίω Μάμαντι | τῇ Ἑρμιλεία, τοῖς πλησίον τοῦ ἁγίου Ὄρους, τοῖς ἐντὸς αὐτοῦ καὶ ἀλλαχοῦ ἔνθα κέκτητ(αι)· ἀποκόπτει γὰρ ὁ βασιλεία μου ἀπὸ τῶν τοιούτων πάντ(ων) κτημ(ά)τ(ων) αὐτῆς ζευγαρατίκιον, μιτάτον, βιγλιατικόν, δια|βατόν, ἐννόμιον, ἀγκαρείαν, ψωμοζημίαν, σιταρκείαν, καστροκτισίαν, ξυλάχυρον καὶ ἄλλο πᾶν δημοσιακὸν ἢ βασιλικὸν ζήτημα, νῦν τε ἐνεργούμ(εν)ον καὶ ὕστερον ἐπινοηθησό|μ(εν)ον· τούτου χάριν (καὶ) ὁ παρὼν χρυσόβουλλος ***λόγος*** τῆς βρσιλείας μου γεγονὼς ἐπεχορηγήθη τῇ τοιαύτη σεβασμία μονῇ τοῦ Βατοπεδίου, εἰς παντοίαν (καὶ) διηνεκῆ αὐτῆς ἀσφά-|λειαν, ἀπολυθεὶς κ(α)τ(ὰ) μῆνα ***Ἀπριλλίω*** τῆς νῦν τρεχούσης ***πρώτης*** ἰνδικτιῶνος τοῦ ͵ϛ$^{ε}$ ω$^{ε}$ ***πεντηκοστοῦ ἕκτου*** ἔτους | ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †

26. *αὐτῇ ...... (ἐξίτηλος λέξις· πιθανῶς πρόκειται περί τινος τῶν κελλίων τοῦ Κολετζῆ ἢ τοῦ Δομέτη· πρβλ. γράμμα 15 στ. 17, 18) ... τῇ ἰσχύι* 27. *ἔτι τε... κεφαλατικεύοντες* 28. *ἔξουσί ποτε ἄδειαν.* 29. *τοῖς ἐν τῷ* 30. *Στρυμόνι, τῇ Ζαβαρνικείᾳ, τῇ Χοτολίβον ... τῇ Δράμᾳ ... τῇ Θεσσαλονίκῃ, τῷ Ῥαφαλίῳ, τῷ Κρυμωτᾷ (ἀλλαχοῦ κεῖται Κριμωτᾶ), τῇ Κριτζίστῃ, τῇ Βερροίᾳ, τῷ ἁγίῳ* 31. *τῇ Ἑρμυλείᾳ ... μιτᾶτον.* 32. *διαβατὸν (ἀλλαχοῦ διαβατικὸν)... ἀγγαρείαν... σιτάρκειαν* 33 *τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ.* 34. *Ἀπρίλιον* 35. *ἐν ᾧ.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

## *15.*

## *Χρυσόβουλλος λόγος τοῦ αὐτοκράτορος Ἰωάννου ΣΤ´ τοῦ Παλαιολόγου.*

*Σεπτέμβριος τοῦ ἔτους (6865) 1356, ἰνδ. ι´.*

Ἐπὶ μεμβράνης διαστάσεων 0,98×0,53 καταγεγραμμένης ὑπ᾽ ἀριθ. 9ω ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς. Δὲν φέρει νῦν τὴν χρυσῆν τοῦ ἀπολύσαντος αὐτοκράτορος βοῦλλαν.

Μεταξὺ τῶν στίχων 45, 46 καὶ 46, 47 διὰ μεταγενεστέρας χειρὸς καὶ ἄλλης μελάνης ἔχουσι γραφῆ αἱ λέξεις: «π ρ ὸ ς τ ο ύ τ ο ι ς τ ὸ Ῥ α φ α|λ ί ο υ ὅ λ ο ν κ α ὶ τ ο ῦ Κ ρ ι μ ω τ ᾶ κ α ὶ τ ὸ ..........................» (διὰ τῶν στιγμῶν δηλοῦνται τρεῖς ἢ τέσσαρες λέξεις τῆς προσθέτου ταύτης γραφῆς δυσανάγνωστοι).

† Ἐπεὶ οἱ μοναχοὶ τῆς κατὰ τὸ ἅγιον ὄρος τοῦ Ἄθω διακειμένης σε(βασμίας) μονῆς τῆς βασιλεί(ας) μου τῆς εἰς | ὄνομα τιμωμένης τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τὸ Βαταπέδιον | ἐζήτησαν καὶ παρεκάλεσαν τὴν βασιλείαν μου πορίσασθαι χρυσόβουλλον ταύτης στέργον καὶ ἐπιβε|βαιοῦν τὰ προσόντα αὐτοῖς παλαιγενῆ χρυσόβουλλα καὶ προστάγματα, ἔτι τὲ ἀπογραφικὰς παραδόσεις | καὶ λοιπὰ δικαιώματα, ἐν οἷς διαλαμβάνονται κατὰ μέρος τὰ τῆς τοιαύτης σεβασμί(ας) μονῆς ἐν διαφόροις | τόποις διακείμενα κτήματα· τὴν τοιαύτην δέησιν εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου, τὸν παρόντα | χρυσόβουλλον **λόγον** ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτοῖς, δι᾽ οὗ προστάσσει καὶ εὐδοκεῖ καὶ | διορίζεται, ὡσ ἂν κατέχη καὶ εἰς τοεξῆς ἡ ῥηθεῖσα σεβασμία μονὴ τῆς βασιλ(είας) μου τὸ Βατοπέδιν, τὰ | προσόντα αὐτὴ κτήματα διά τε τῶν παλαιγενῶν χσυσοβούλλων, προσταγμάτων, ἀπογραφικῶν παραδόσ(εων) | καὶ λοιπῶν δικαιωμάτων, ἀνενοχλήτως, ἀναφαιρέτως καὶ ἀναποσπάστως, ἅτινα καὶ κ(α)τ(ὰ) μέρος ἔχουσιν | οὕτως: τὸ ἐν τῆ θεοσώστω πόλει Θεσσαλονίκη μετόχιον τὸ εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγί(ας) Θ(εοτό)κου μετὰ τοῦ | οἰκολογίου καὶ τοῦ ἀμπελο-

4. *ἔτι τε* 8. *κατέχῃ . . . τὸ ἑξῆς.* 9. *αὐτῇ* 11. *τῇ θεοσώστῳ . . . Θεσ-*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

πάκτου καὶ τῶν προσόντων ἑτέρων αὐτῷ· τὸ ἐν τη θεοσώστ(ῳ) πόλ(ει) Βερροία μετόχιον, | ὅπερ ἔχει διὰ προσενέξεως τοῦ Σαραντηνοῦ ἐκείνου, μετὰ τῶν προσόντων αὐτῶ πάντων κτημάτων· εἰς | τὴν Καλαμαρείαν τὸν ἅγιον Μάμαντα μετὰ τοῦ πύργου καὶ τῶν ἐκεῖσε Κασανδρηνῶν καὶ τῆς δοθείσης παρὰ | τοῦ Μουζάκη γῆς τῶν τριακοσίων μοδίων +: τὸ εἰς τὴν Ἑρμίλειαν μετόχιον μετὰ τοῦ πύργου καὶ τῶν προνομί(ων) | αὐτοῦ: μετόχιον τὸ Ἔλαδιάβα καλούμενον με(τὰ) τοῦ πύργου καὶ τῆς περιοχῆς αὐτοῦ: τὸ Προσφόριον λεγόμενον | μετὰ τοῦ πύργου καὶ τοῦ νησίου τῆς Ἀμουλιανῆς λεγομένου: τὰ ἐντὸς τοῦ ἁγίου Ὄρους κελλία δ΄: τοῦ Κο|λετζῆ καὶ τοῦ Δομέτη καλούμενα ἅτινα προσετέθησαν παρὰ τοῦ πρώτου ἐκείνου κῦρ Ἰσαάκ: τὴν Ζαβερνίκει(αν) | μετὰ τοῦ πύργου καὶ τῶν προνομίων αὐτῆς: τὸ εἰς τοῦ Τζάνου ζευγηλατεῖον: τὸ Σέλματον μετὰ τοῦ | πύργου καὶ τῶν ἐκεῖσε παροίκων καὶ τῆς νομῆς αὐτοῦ: τοῦ Χοτολίβου μετὰ τοῦ πύργου καὶ τῆς περιοχῆς | αὐτοῦ καὶ τοῦ καταρρέοντος ἀπὸ τῆς Σανιανῆς ὕδατος: τὴν εἰς τὸ Πρινάρι γῆν, ἥτις ἀφιερώθη παρὰ τοῦ ἐν | μοναχοῖς Τζαμπλάκωνος κῦρ Ἀρσενίου καὶ τοῦ αὐταδέλφου αὐτ(οῦ) τοῦ μεγ(ά)λ(ου) δουκός: τὸ ἐντὸς τῶν Σερρῶν μετόχιον | τὸ εἰς ὄνομα τιμώμενον τῆς ὑπεραγίας Θ(εοτό)κου τῆς ὁδηγητρίας καὶ τὸ ἐκτὸς τοῦ αὐτοῦ κάστρου, τὸ τοῦ ἁγ(ίου) | Δημητρίου τιμώμενον μετὰ τῶν προσόντων πάντων αὐτοῖς: τὸ ζευγηλατεῖον τοῦ Τζαγκαροϊωάννου | λεγόμενον, ὅπερ προσεκυρώθη παρὰ τοῦ Καλοθέτου: τὸ εἰς τὸ Περιθεώριον μετόχιον τὸ εἰς ὄνομα τι|μώμενον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου, καὶ ἐπικεκλημένον τὸ | Καλαμίτζιν, μετὰ τῶν προσόντων αὐτῶ ἐντὸς καὶ ἐκτὸς τοῦ αὐτοῦ κάστρου: τὸ ἐν τῆ νήσω Λήμνω | μετόχιον: τὴν εἰς τοῦ Ζίχνα γῆν τοῦ Φουκοπούλου, τὴν πλησίον οὖσαν χωρίου τοῦ Θολοῦ: περὶ τὰς | Σέρρας ἡ Δραγοβουτζίστα, ὅπερ προσεκύρωσεν ὁ Δερμοκαΐτης: ἡ εἰς τὴν Ἐλσιανὴν πλησίον τῆς Πε|τριτζῶ γῆ, ὅση καὶ οἵα ἐστί: τὸ εἰς τοῦ Στούμπου μετόχιον τὸ εἰς ὄνομα τιμώμενον τοῦ ἐν ἱεράρχαις | παμμάκαρος

*σαλονίκη* 12. *αὐτῷ... τῇ θεοσώστ(ῳ)... Βερροίᾳ.* 13. *αὐτῷ* 14. *Καλαμαρείαν (ἀλλαχοῦ κεῖται Καλαμαρία)* 15. *Ἑρμύλειαν.* 27. *αὐτῷ... τῇ νήσῳ Λήμνῳ.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

ἁγίου Νικολάου τοῦ θαυματουργοῦ, ὅπερ δέδωκεν ὁ Μαυροφόρος, μεθ' ὧν κέ|κτηται: χωρίον τὸ Τραδέστιν ὁ σ(ωτ)ὴρ Χ(ριστὸ)ς καλούμενον μετὰ τῆς περιοχῆς καὶ νομῆς αὐτοῦ καὶ | τοῦ ἐντὸς τοῦ Ζίχνα ἀνωγαιοκατώγου οἰκήματος: εἰς (τὸ) Γαλικὸν ὅπερ ἀφιέρωσεν ὁ μοναχὸς | κῦρ Ἀρσένιος ὁ Τζαμπλάκων καὶ ὁ αὐτάδελφος αὐτοῦ ὁ μέγας δοὺξ: αἱ εἰς τοῦ Ζίχνα ἀφιερω|θεῖσαι ὑποστάσεις παρὰ τοῦ Δρίηνου ἐκείνου: τὸ ἐκεῖσε ζευγηλατεῖον τὸ ἀφιερωθὲν παρὰ τοῦ| Μαυροφόρου καὶ καλούμενον Μιχαΐλου: ἡ ἐν τῇ θεομεγαλύντω, θεοδοξάστω καὶ θεοφυλάκτω Κων|σταντινουπόλει σεβασμία μονή, ἡ εἰς ὄνομα τιμωμένη τῆς ὑπεραγίας θ(εοτό)κου κοιμήσεως Μαυρο|μόλου μεθῶν ἐντός τε καὶ ἐκτὸς τῆς αὐτῆς Κωνσταντινουπόλεως ἔχει: ἔτι εἰς τὴν Ἡράκλειαν | καὶ εἰς τὴν Χαριούπολιν: τὸ περὶ τὴν Χρυσῆν πύλην διακείμενον κηπουρεῖον, ὅπερ προσε|κύρωσε προολίγου ἐν τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ τοῦ Βατοπεδίου, ὁ μοναχὸς κῦρ Νίφων ὁ | Καταμεσίτης: τὴν παρὰ τὴν πύλην τῶν Κυνηγῶν τετάρτην μερίδα καμάραν τὴν δοθεῖσαν | παρὰ τοῦ Ῥαοὺλ κῦρ Ἰσαακίου καὶ τῆς γυναικὸς αὐτοῦ, ἣν ἔχει αὕτη ἐκ προικὸς: τὸ εἰς τὰ Σι|δηροκαυσεῖα εὑρισκόμενον μετόχιον ἡ Σπηλαιώτισα λεγόμενον μετὰ τῶν ἐκεῖσε παροί|κων τῶν δοθέντων παρὰ τοῦ Καβάσιλα: καὶ ἡ εἰς τὴν Χρυσόπολιν γῆ, ἡ ἐπονομαζο|μένη Ἀλευροῦ μετὰ τῆς πλησίον τοῦ αὐτοῦ κάστρου ἑτέρας γῆς· ἅτινα δὴ ἅπαντα | ὀφείλονται κατέχεσθαι εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους παρὰ τῆς τοιαύτης | σεβασμίας μονῆς τῆς βασιλείας μου τοῦ Βατοπεδίου, ἀνενοχλήτως, ἀναφαι|ρέτως καὶ ἀναποσπάστως κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ ἐπὶ τούτοις | χρυσοβούλλων, προσταγμάτων, ἀπογραφικῶν παραδόσεων καὶ λοιπῶν | δικαιωμάτων· ἔτι τὲ ἀνώτερα

33. *Γαλλικὸν* 35. *Δρυΐνου (ὡς ἐν ἑτέρῳ γράμματι)* 36. *Μιχαήλου (ἡ λέξις διὰ μεταγενεστέρας χειρὸς καὶ ἄλλης μελάνης ἐπὶ τῆς προϋπαρχούσης γραφῆς) . . . τῇ θεομεγαλύντῳ, θεοδοξάστῳ . . . θεοφυλάκτῳ* 37. *κοιμήσεως Μαυρομόλου (ἀμφότεραι αἱ λέξεις διὰ μεταγενεστέρας χειρὸς καὶ ἄλλης μελάνης ἐπὶ τῆς προϋπαρχούσης γραφῆς)* 38. *μεθ' ὧν.* 38. *Κωνσταντινουπόλεως ἔχει (τὰ τρία τελευταῖα γράμματα τῆς λέξεως Κωνσταντινουπόλεως καὶ ἡ λέξις: ἔχει: διὰ μεταγενεστέρας χειρὸς καὶ ἄλλης μελάνης ἐπὶ προϋπαρχούσης γραφῆς)* 40. *πρὸ ὀλίγου . . . τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ . . . Νήφων* 41. *Καταμεσίτης (;) (ἡμιεξίτηλος ἡ λέξις καὶ ἀβεβαία ἡ ἀνάγνωσις)* 43. *Σπηλαιώτισσα.* 48. *αὐτῇ* 50. *ἔτι τε*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

καὶ ἀκαταζήτητα τῆς ἀπαιτήσεως τοῦ ζευ|γαρατικίου, καὶ τοῦ ἐννομίου τῶν πάντων ζώων καθὼς διετηροῦντο καὶ πρό|τερον καὶ μέχρι τοῦ νῦν: ὅθεν τῇ ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυ|σοβούλλου ***λόγου*** τῆς βασιλείας μου, καθέξουσι καὶ νε|μηθήσονται οἱ διαληφθέντες μοναχοὶ τῆς κατὰ τὸ ἅγιον ὄρος τοῦ Ἄθω δια|κειμένης σεβασμίας μονῆς τῆς βασιλείας μου τοῦ Βατοπεδίου, εἰς τοὺς | ἑξῆς καὶ διηνεκεῖς χρόνους τὰ ἀνωτέρω κατὰ μέρος διαληφθέντα ἐν διαφό|ροις τόποις μετόχια αὐτων μετὰ τῶν ἐν αὐτοῖς βελτιώσεων, ἀνενοχλή|τως ἀδιασείστως, ἀναφαιρέτως καὶ ἀναποσπάστως, καὶ κατὰ τὰς περι|λήψεις τῶν προσόντων αὐτοῖς, ὡς εἴρηται, ἐπὶ τοῖς τοιούτοις κτήμασι | χρυσοβούλλων, ἔτι τὲ προσταγμάτων, ἀπογραφικῶν παραδόσεων, καὶ λοι|πῶν δικαιωμάτων, διατηρούμενα τῆς ἀπαιτήσεως τοῦ ζευγαρατικίου | καὶ τοῦ ἐννομίου τῶν ζώων πάντων, ἀνώτερά τε πάσης κατατριβῆς | καὶ ἐπηρείας καὶ ἀπαιτήσεως, ἀπολαύοντα πάσης ἐξκουσείας καὶ ἀ|νενοχλησίας καὶ δεφενδεύσεως· ἐπεὶ τοῦτο βούλεται καὶ εὐδοκεῖ κ(αὶ) | προστάσσει ἡ βασιλεία μου εἰς μόνιμον καὶ διηνεκῆ τὴν κατοχὴν | καὶ κυριότητα κατέχειν καὶ νέμεσθαι τὰ δηλωθέντα κατὰ | μέρος ἐν διαφόροις τόποις κτήματα τοὺς διαληφθέντας μοναχ(οὺς) | τῆς σεβασμίας μονῆς τ(ῆς) βασιλείας μου τοῦ Βατοπεδίου ἀνε|νοχλήτως παντάπασι καὶ ἀδιασείστως, μηδεμίαν παρὰ μηδενὸς | εὑρίσκοντες τὴν οἱανδήτινα ἐπήρειαν ἢ διενόχλησιν· εἰς γὰρ | τὴν περὶ τούτου βεβαίαν ἀσφάλειαν, ἐπεχορηγήθη καὶ ἐπεβραβεύ|θη τῇ διαλειφθείσῃ σεβασμίᾳ μονῇ τῆς βασιλείας μου τῇ εἰς | ὄνομα τιμωμένῃ τῆς πανυπεράγνου δεσποίνης καὶ θεομή|τορος καὶ ἐπιλεκλημένῃ τοῦ Βατοπεδίου καὶ ὁ παρὼν | τῆς βασιλείας μου χρυσόβουλλος ***λόγος*** | ἀπολυθεὶς κ(α)τ(ὰ) μῆνα ***Σεπτέμβριον*** τῆς ἐνισταμένης | ***δεκάτης*** ἰνδικτιῶνος τοῦ ἑξακισχι|λιοστοῦ ὀκτακοσιοστοῦ ***ἑξηκοστοῦ πέμπτου*** | ἔτους· ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐ|σεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο | κράτος. † ***Ἰω(άν)νης ἐν Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ πιστὸς | βασιλεὺς καὶ αὐτοκράτωρ | Ῥωμαί(ων) ὁ Παλαιολόγος.***

51. *ζῴων* 52. *τῇ ἰσχύει.* 60. *ἔτι τε* 62. *ζώων* 63. *ἐξκουσσείας.* 72. *τῇ διαληφθείσῃ σεβασμίᾳ μονῃ . . . τῇ* 73. *τιμωμένῃ* 74. *ἐπικεκλημένῃ* 79. *ἐν ᾧ* 81. *Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ.*



Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

## 16.

## *Χρυσόβουλλος λόγος τοῦ αὐτοκράτορος Ἰωάννου ΣΤ´ τοῦ Παλαιολόγου.*

*4 Ἰουλίου τοῦ ἔτους (6870) 1362, ἰνδ. ιε´.*

Ἐπὶ χάρτου διαστάσεων 0,43×0,27, ὑπ᾽ ἀριθ. 12 ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς. Δὲν φέρει νῦν τὴν χρυσῆν τοῦ ἀπολύσαντος αὐτοκράτορος βοῦλλαν. Ἀφορᾷ εἰς ἐπικύρωσιν δωρεᾶς πρὸς τὴν μονὴν δισχιλίων μοδίων γῆς μετὰ πύργου ἐν Μούδρῳ τῆς Λήμνου γενομένην ὑπὸ τοῦ μεγάλου στρατοπεδάρχου Γεωργίου τοῦ Ἀστρᾶ.

† Ἐπεὶ ὁ περιπόθητος συμπένθ(ε)ρ(ος) τ(ῆς) βασιλ(είας) μου μέγας στρατοπεδάρχης κῦρ Γεώργ(ιος) ὁ Ἀστρᾶς ἀνέφερ(εν) | ὅτι ἔκτισε πῦργον ἐξ οἰκείων κόπων (καὶ) ἀναλωμ(ά)τ(ων) περὶ τ(ὴν) νῆσον Λῆμνον, ἐν τῇ τοποθεσίᾳ τ(οῦ) Μούδρου | ὅντινα δὴ πῦργον μετὰ (καὶ) γῆς δισχιλί(ων) μοδί(ων) πλησί(ον) τούτου διακειμ(ένης), ἀποκατέστησ(εν) εἰς μετόχιον προσκυρώσ(ας) | καὶ δοὺς τοῦτο τῇ κ(α)τ(ὰ) τὸ ἅ(γιον) ὄρος τοῦ Ἄθω διακειμένη σε(βασμία) μονῆ τ(ῆς) βασιλ(είας) μου, τῆ εἰς ὄνομα τιμωμένη | τ(ῆς) πανυπεράγνου δεσποίν(ης) (καὶ) θεομήτ(ο)ρ(ος) (καὶ) ἐπικεκλημ(έν)η τοῦ Βατοπεδί(ου), (καὶ) ἀνέφερεν ἀρτίως οὗτος (καὶ) ἐδεήθη τ(ῆς) | βασιλ(είας) μου ἵνα γίνηται τῆ τοιαύτη σ(εβασμία) μον(ῆ) ἐπὶ τούτω (καὶ) χρυσόβουλλον αὐτ(ῆς), τὴν τούτου δέησ(ιν) (καὶ) παράκλησ(ιν) εὐμεν(ῶς) | προσδεξαμένη ἡ βασιλ(εία) μου τὸν παρόντα χρυσόβουλλον **λόγον** ἐπιχορηγεῖ (καὶ) ἐπιβρα|βεύει αὐτῆ, δι᾽ οὗ (καὶ) εὐδοκεῖ (καὶ) προστάσσει (καὶ) διορίζεται, κατέχειν εἰς τοεξῆς καὶ διαληφθεῖσαν | σεβασμίαν μονὴν τοῦ Βατοπεδίου, τὸν δηλωθέντα πῦργον τοῦ Μούδρου μετὰ τ(ῆς) ἐκεῖσε γῆς, τ(ῆς) ὡσεὶ μο(δίων) | δισχιλίων ὡς εἴρηται οὔσης, ἀνενοχλήτως πάντη (καὶ) ἀδιασείστως (καὶ) κ(α)τ(ὰ) λόγον γονικότητος, καθὼς | δηλονότι παρεδόθη πρὸς τοὺς μοναχοὺς τῆς τοιαύτ(ης) σεβασμί(ας) μονῆς, παρὰ τοῦ διαληφθέντος | μεγάλου

2. *πύργον . . . τῇ τοποθεσίᾳ* 3. *πύργον* 4. *τῇ . . . διακειμένῃ σε(βασμίᾳ) μονῇ . . . τῇ . . . τιμωμένῃ* 5. *ἐπικεκλημ(έν)ῃ* 6. *τῇ τοιαύτῃ σ(εβασμίᾳ) μον(ῇ) . . . τούτῳ.* 8. *αὐτῇ . . . τὸ ἑξῆς* 9. *πύργον* 10. *πάντῃ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

στρατοπεδάρχου τοῦ Ἀστρᾶ, εἰς μετόχιον αὐτῶν, ἔχοντας ἐπ᾿ ἀδείας ποιεῖν (καὶ) ἐπὶ τούτω | ὥσπερ (καὶ) ἐπὶ τοῖς λοιποῖς κτήμασι τοῖς ὑποκειμενοις τῆ τοιαύτη σ(εβασμία) μονῆ διὰ χρυσοβούλλ(ων) | καὶ λοιπῶν εὐλόγων δικαιωμάτων, μηδεμίαν ὑπ᾿ οὐδενὸς τῶν ἁπάντων, εὑρίσκοντας τὴν | διενόχλησιν ἢ καταδυναστείαν (καὶ) ἀδικίαν τινά· τῆ γοῦν ἰσχύει (καὶ) δυνάμει τοῦ παρόντος | χρυσοβούλλου ***λόγου*** τ(ῆς) βασιλεί(ας) μου καθέξουσιν οἱ μοναχοὶ τ(ῆς) εἰρημ(ένης) σ(εβασμίας) μον(ῆς) τοῦ Βατο|πεδίου καὶ νεμηθήσονται τὸν τοιοῦτον πῦργον μετὰ (καὶ) τῆς τῶν δισχιλί(ων) μο(δίων) γῆς, ὡς μετόχι(ον) αὐτ(ῶν) | ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως (καὶ) κ(α)τ(ὰ) λόγον γονικότ(η)τος, καθὼς παρεδόθη πρὸς αὐτοὺς παρὰ τοῦ | δηλωθέντος περιποθήτου συμπενθέρου τ(ῆς) βασιλ(είας) μου τοῦ με(γάλου) στρατοπεδάρχου κῦρ Γε(ω)ρ(γίου) τοῦ Ἀστρᾶ, | ἔχοντες ἐπ᾿ ἀδείας οὗτοι συνιστᾶν (καὶ) βελτιοῦν αὐτὸ (καὶ) ἐπὶ τὸ κρεῖττον προάγειν, κ(α)τ(ὰ) τ(ὸν) ἐγχωροῦντα (καὶ) | δυνατὸν αὐτοῖς τρόπον, (καὶ) ὡς βούλοιντό τε (καὶ) δύναιντο, (καὶ) ποιεῖν (καὶ) ἐπὶ τούτω, ὥσπερ (καὶ) ἐπὶ τοῖς λοιπ(οῖς) | κτήμασι τοῖς ὑποκειμένοις τῆ κατ᾿ αὐτοὺς τοιαύτη σ(εβασμία) μονῆ διὰ χρυσοβούλλων ὡς εἴρητ(αι) (καὶ) λοιπῶν εὐλόγων | δικαιωμ(ά)τ(ων), μηδεμί(αν) παρὰ μηδενὸς τ(ῶν) ἁπάντων εὑρίσκοντες εἰς αὐτὸ τ(ὴν) διενόχλησιν ἢ περιφρό|νησιν (καὶ) ἀδικί(αν). ἐπεὶ εἰς περὶ τούτου μόνιμον (καὶ) διηνεκῆ τ(ὴν) ἀσφάλ(ειαν) ἐγένετο (καὶ) ὁ παρὼν χρυσόβουλλ(ος) ***λόγος*** | τ(ῆς) βασιλ(είας) μου (καὶ) ἐπεχορηγήθη (καὶ) ἐπεβραβεύθη τῆ τοιαύτ(η) σ(εβασμία) μον(ῆ) τοῦ Βατοπεδ(ίου), ἀπολυθεὶς κ(α)τ(ὰ) τ(ὴν) τετάρτ(ην) τοῦ παρόντ(ος) | ***Ἰουλ(ίου)*** μηνὸς τ(ῆς) νῦν τρεχούσ(ης) ***πεντεκαιδεκ(ά)τ(ης)*** ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ***ἑβδομηκοστοῦ*** | ἔτους· ἐν ὦ (καὶ) τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο | κράτος. † ***Ἰω(άνν)ης ἐν Χ(ριστ)ῶ τῶ Θ(ε)ῶ πίστὸς βασι|λεὺς καὶ αὐτοκράτωρ Ῥωμαί(ων)*** | ***ὁ Παλαιολόγος.***

12. *τούτῳ* 13. *τῇ τοιαύτῃ σ(εβασμίᾳ) μονῇ.* 15. *τῇ* 17. *πύργον* 18. *πάντῃ* 21. *τούτῳ* 22. *τῇ ... τοιαύτῃ σ(εβασμίᾳ) μονῇ.* 25. *τῇ τοιαύτ(ῃ) σ(εβασμίᾳ) μον(ῇ)* 27. *ἐν ᾧ* 28. *Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

## 17.

## *Χρυσόβουλλος λόγος τοῦ αὐτοκράτορος Ἰωάννου ΣΤ΄ τοῦ Παλαιολόγου.*

*27η Αὐγούστου τοῦ ἔτους (6872) 1364, ἰνδ. β΄.*

Ἐπὶ μεμβράνης διαστάσεων 0,54×0,30 καταγεγραμμένης ὑπ' ἀριθ. 14 ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς. Δὲν φέρει νῦν τὴν χρυσῆν βούλλαν τοῦ ἀπολύσαντος αὐτοκράτορος.

Ἀφορᾶ εἰς τὰ δίκαια τοῦ μοναχοῦ Μανασσῆ Ταρχανειώτου τοῦ πρωτοστράτορος ἐπὶ τοῦ ἐν Θεσσαλονίκῃ μονυδρίου τοῦ Σωτῆρος τοῦ ἐπικεκλημένου τ ο ῦ Κ υ ρ κ ύ ρ η καὶ εἰς τὴν παράπεμψιν τῶν δικαίων τούτων εἰς τὴν μονὴν τοῦ Βατοπεδίου μετὰ τὸν θάνατον τοῦ Μανασσῆ Ταρχανειώτου.

† Ἐπεὶ διωρίσατο ἡ βασιλεία μου προολίγου διὰ προστάγματος, ὡς ἂν ὁ περι|πόθητος θεῖος αὐτῆς ὁ τιμιώτατος ἐν μοναχοῖς, πρωτοστράτωρ κῦρ Μανασσῆς ὁ Ταρχα|νειώτης, κρατῆ καὶ ἐφορεύῃ διὰ πάσης αὐτοῦ τῆς ζωῆς τὸ κατὰ τὴν θεόσωστον πόλιν τὴν Θε|σσαλονίκην διακείμενον μονύδριον τὸ εἰς ὄνομα τιμώμενον τοῦ Κ(υρίο)υ καὶ Θ(εο)ῦ καὶ Σ(ωτῆ)ρος ἡμῶν Ἰ(ησο)ῦ | Χ(ριστο)ῦ, καὶ ἐπικεκλημένον τοῦ Κυρκύρου, μετὰ τῶν κτημάτων καὶ πραγμάτων καὶ λοιπῶν δικαί(ων) | αὐτ(οῦ), καὶ ἀρτίως ἀνέφερεν οὗτος καὶ ἐδεήθη τῆς βασιλείας μου ὥστε ἐπιχορηγηθῆναι τούτω | χρυσόβουλλον αὐτῆς, διοριζόμενον, ἔχειν μὲν αὐτὸν καὶ εἰς τοεξῆς τὴν κατοχὴν καὶ ἐφορείαν | καὶ ἐπίσκεψιν τοῦ τοιούτου μονυδρίου, ἐν δὲ τῶ καιρῶ τῆς τελευτῆς αὐτοῦ ἔχειν ἄδειαν | παραπέμψαι τὸ τοιοῦτον μονύδριον μετὰ καὶ τῶν προσόντων ὡς εἴρηται αὐτῶ πρὸς τὸ μέρος | τῆς εἰς τὸ ἅγιον ὄρος τὸν Ἄθω διακειμένης σεβσμί(ας) μονῆς τῆς βασειλεί(ας) μου, τῆς εἰς ὄνομα τιμω|μένης τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτ)ο)ρ(ος) καὶ ἐπικεκλημένης τοῦ Βατοπεδίου, τὴν | παράκλησιν αὐτοῦ προσδεξαμένη ἡ βασιλεία μου, τὸν παρόντα χρυσό|βουλλον ***λόγον*** ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει αὐτῶ, δι' οὗ εὐδοκεῖ | καὶ προστάσσει καὶ διορίζεται, κατέχειν μὲν καὶ εἰς

1. *πρὸ ὀλίγου* 3. *κρατῇ . . . ἐφορεύῃ* 6. *τούτῳ* 7. *τὸ ἑξῆς* 8. *τῷ καιρῷ.* 9. *αὐτῷ* 13. *αὐτῷ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

τοεξῆς τοῦτον, τὸ δηλωθὲν μονύδρ(ιον) | ἀνενοχλήτως καὶ ἀδιασείστως, διὰ πάσης αὐτοῦ τῆς ζωῆς, ἐπιμελούμενον τῆς πν(ευματ)ικῆς | πολιτείας καὶ διαγωγῆς τῶν ἐν αὐτ(ῶ) ἀσκουμένων μοναχῶν, ἔτι γε μήν, τῆς συστάσεως καὶ | βελτιώσεως καὶ ἐπὶ τὸ κρεῖττον ἐπιδόσεως τῶν προσόντων αὐτ(ῶ) κτημάτ(ων) καὶ πραγμάτων καὶ | λοιπῶν δικαίων, μετὰ δὲ θάνατον αὐτ(οῦ), παραπέμπειν αὐτὸ πρὸς τὴν διαληφθεῖσαν σεβασμίαν | μονὴν τοῦ Βατοπεδίου, ὥστε κατέχεσθαι καὶ παρ᾽ αὐτῆς, τὸν ὅμοιον τρόπον, ἀνενοχλήτως | καὶ ἀδιασείστως· τῆ γοῦν ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλ(ου) ***λόγου*** τ(ῆς) | βασιλεί(ας) μου, καθέξει μὲν καὶ ἐφορεύσει οὗτος τὸ τοιοῦτον μονύδριον, ἐφ᾽ ὅρω τῆς ζωῆς | αὐτοῦ κατὰ τὴν περίληψιν τοῦ προσόντος αὐτῶ ὡς δεδήλωται προστάγματος τῆς βασιλείας μου, | ἀνενοχλήτως καὶ ἀδιασείστως, μηδεμίαν εὑρίσκων εἰς τοῦτο παρά τινος καταδυναστείαν | ἢ διενόχλησιν, παραπέμψει δὲ τοῦτο ἐν τῶ καιρῶ τῆς τελευτῆς αὐτοῦ, καὶ πρὸς τὴν σεβασμί(αν) | μονὴν τοῦ Βατοπεδίου, ἐπὶ τῶ κατέχεσθαι καὶ παρ᾽ αὐτῆς ἀνενοχλήτως, μετὰ καὶ τῶν | δικαίων τῶν ὑποκειμένων μέχρι τουνῦν τῶ τοιούτω μονυδρίω, δι᾽ εὐλόγων δικαιωμάτων· | ἐπεὶ εἰς τὴν περὶ τούτ(ου) ἀσφάλειαν, ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλ(ος) ***λόγος*** | τῆς βασιλείας μου, καὶ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη αὐτῶ δὴ τῶ διαληφθέντι | περιποθήτω θείω τῆς βασιλείας μου, τιμιωτάτω ἐν μοναχοῖς πρωτοστράτορι κυρῶ | Μανασσῆ τῶ Ταρχανειώτη, ἀπολυθεὶς κατὰ τὴν εἰκοστὴν ***ἑβδόμην*** τοῦ | παρόντος ***Αὐγούστου*** μηνός, τῆς νῦν τρεχούσης ***δευτέρας*** ἰνδικτιῶνος | τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ***ἑβδομηκοστ(οῦ) δευτέρου*** ἔτους· | ἐν ὧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο | κράτος. † ***Ἰω(άνν)ης ἐν Χ(ριστ)ῶ τῶ Θ(ε)ῶ πιστὸς βα | σιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαί(ων) ὁ Παλαιολόγος.*** †

14. *τὸ ἑξῆς* 16. *αὐτ(ῷ).* 17. *αὐτ(ῷ)* 20. *τῇ* 21. *ἐφ᾽ ὅρῳ*
22. *αὐτῷ* 24. *τῷ καιρῷ* 25. *τῷ.* 26. *τοῦ νῦν τῷ τοιούτῳ μονυδρίῳ*
28. *αὐτῷ δὴ τῷ* 29. *περιποθήτῳ θείῳ ... τιμιωτάτῳ ... κυρῷ* 30. *Μανασσῇ τῷ Ταρχανειώτῃ* 33. *ἐν ᾧ* 34. *Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

## 18.

### *᾿Αποδοτικόν, προσκυρωτικὸν καὶ ἀποκαταστατικὸν ταβουλαρικὸν γράμμα Μιχαὴλ ᾿Αστρᾶ τοῦ Συναδηνοῦ, ἐπὶ τῶν ἐν Μούδρῳ τῆς Λήμνου κτημάτων τῆς μονῆς.*

*᾿Οκτώβριος τοῦ ἔτους (6875) 1366, ἰνδ. ε΄.*

᾿Επὶ μεμβράνης διαστάσεων 0,45×0,24 καταγεγραμμένης ὑπ᾿ ἀριθ. 17 ἐν τῷ χειρογράφῳ καταλόγῳ τοῦ γραμματοφυλακείου τῆς μονῆς. ᾿Επὶ τῆς προσθίας ὄψεως τῆς μεμβράνης, ἧς τὸ περιεχόμενον δημοσιεύεται ὑπὸ στοιχεῖον Α, κεῖται τῷ ἀνωτέρω γράμμα Μιχαὴλ ᾿Αστρᾶ τοῦ Συναδηνοῦ, ὑπογράφοντος μόνον διὰ τῆς λέξεως †ὁ Συναδηνὸς†. ῾Υπὸ τὴν ὑπογραφὴν ταύτην κεῖται ἐπικύρωσις τοῦ γράμματος ὑπὸ τοῦ συντάξαντος αὐτὸ «πρωτοταβουλλαρίου τῆς Μεγάλης ᾿Εκκλησίας καὶ διακόνου τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου» Θεοδώρου τοῦ Πεπαγωμένου. ᾿Επὶ τῆς ἑτέρας τῆς μεμβράνης ὄψεως, ἧς τὸ περιεχόμενον δημοσιεύεται ὑπὸ στοιχεῖον Β, κεῖται ἡ ἐπικύρωσις τοῦ αὐτοῦ γράμματος ὑπὸ τῶν μητροπολιτῶν Θεοδωρήτου τοῦ ᾿Εφέσου, Θεοφάνους τοῦ Νικαίας καὶ Θεοδωρήτου τοῦ Βρύσεως.

Α

† ᾿Εγὼ ὁ δοῦλος τοῦ κρατ(αιοῦ) καὶ ἁ(γίου) ἡμῶν αὐθ(έν)τ(ου) καὶ βασιλ(έως) Μιχαὴλ ᾿Αστρᾶς ὁ Συναδ(η)ν(ὸς), ὁ ἐνταῦθα οἰκειοχ(εί)ρ(οις) μου γράμμασ(ιν) ὑπογράψας πρὸς τ(ὴν) τῶν γεγραμμ(έν)ων | πίστωσιν (καὶ) ἀσφάλειαν, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον ἐντελῆ καὶ κατησφαλισμ(έν)ην ἀποκατάστασιν, τίθεμαι καὶ ποιῶ | ἑκουσίως καὶ αὐτοπροαιρέτ(ως) πρὸς τοὺς ἐνασκουμέν(ους) τιμιωτ(ά)τ(ους) μοναχοὺς τῆ(ς) κ(α)τ(ὰ) τὸ ἅ(γιον) κ(αὶ) περιώνυμον ὄρος τ(οῦ) ῎Αθω διακειμ(έν)ης σ(εβασμίας) καὶ ἱερᾶς μονῆς | τῆ(ς) ἐπ᾿ ὀνόματι τιμωμ(έν)η(ς) τ(ῆς) ὑπεραγν(ου) δεσποίν(ης) ἡμῶν θ(εοτό)κου καὶ ἐπικεκλημ(έν)η(ς) τοῦ Βατοπεδ(ίου), ἥτις καὶ ἔχει οὕτως· ἐπεὶ γὰρ ὁ ἅ(γιός) μου αὐθ(εν)τ(ης) καὶ π(ατ)ήρ, | ὁ μακαρίτης μέγας στρατοπεδάρχ(ης) ὁ ᾿Αστρᾶς ἐκεῖνος, φθάσ(ας) ἐκράτησ(εν) ἃ ἐκέκτητο ἡ τοιαύτη σ(εβασμία) μονὴ κ(α)τ(ὰ) τὴν

4. *ὑπεράγν(ου)... αὐθ(έν)τ(ης).*

νῆσον Λῆμνον ἐν διαφό|ροις τόποις καὶ κάστροις διά τε παλαιγεν(ῶν) θείων καὶ προσκυνητῶν προσταγμ(ά)τ(ων) καὶ πρακτικῶν (καὶ) ἀφιερωτ(η)ρί(ων) ἑτέρ(ων) δικαιωμάτων | γῆν καὶ παροίκους, ἅ ἐκ πολλοῦ ἐνέμετο ἡ μονὴ αὕτη, δέδωκε δὲ ἔτι ζῶν περὶ τὸ χωρί(ον) τοῦ Μούδρου γῆν μοδίων δισχιλίων εἰς τὴν τοιαύτ(ην) | μον(ήν), προσκυρώσας αὐτὴν ἐξ ἀναφορᾶς (καὶ) διὰ σεπτοῦ χρυσοβούλλου τοῦ κρατ(αιοῦ) (καὶ) ἁ(γίου) ἡμῶν αὐθ(έν)τ(ου) καὶ βασιλέ(ως), συνδραμὼν (καὶ) | συγκροτήσας (καὶ) οἴκοθ(εν) καὶ ἀφ᾽ ἑαυτοῦ εἰς τ(ὴν) ἀνάκτισιν τοῦ ἐκεῖσε εὑρισκομ(έν)ου πύργου· ἐκράτει δὲ καὶ τὴν γῆν τοῦ Χρυ|σοβέργη μοδ(ίων) ἑπτακοσίων ἣν ἀφιέρωσε τῇ τοιαύτῃ ἱερᾷ μονῇ ἡ ἁ(γία) μου κυρία ἡ μ(ήτ)ηρ τοῦ κρατ(αιοῦ) (καὶ) ἁ(γίου) ἡμῶν αὐθ(έν)τ(ου) (καὶ) βασιλέως τοῦ Καν|τακουζηνοῦ, καὶ τὴν εἰς τοῦ Χαούλη ἑτέραν γῆν, ἐκράτει δὲ ὡσαύτως (καὶ) τὸ νησίον τὴν Πατρικίαν, ἅ δὴ καὶ ἐνώπιον τῆς | κρατ(αιᾶς) (καὶ) ἁ(γίας) βασιλεί(ας) αὐτοῦ καὶ τῶν ἐνασκουμ(έν)ων) τῇ μον(ῇ) ταύτῃ μοναχῶν, ἔτι τὲ (καὶ) τοῦ τιμιωτ(ά)τ(ου) ἐν ἱερομονάχοις (καὶ) πν(ευματ)ικοῦ π(ατ)ρ(ὸ)ς κυροῦ | Γρηγορ(ίου) τοῦ ἐπονομαζομένου Στυλίτου ὑπέσχετο ἀπολύσειν κ(αὶ) ἐπανασώσειν τῇ σ(εβασμία) ταύτη μονῆ, (καὶ) ἔμελλεν οὕτω ποιήσειν | εἰ μὴ φθάσας ὁ θάνατος ἐκώλυσε τοῦτο, ἤδη ἐγὼ ὁ υἱὸς ἐκείνου, διάδοχος ὢν τῶν αὐτοῦ, διάδοχος γίνομαι καὶ τοῦ | ἔργου αὐτοῦ κ(α)τ(ὰ) τὴν ἐκείνου ἐπαγγελίαν· (καὶ) ἀπολύω ταῦτα πάντα τὰ εἰρημ(έν)α (καὶ) ἀποδίδωμι διὰ τοῦ παρόντος μου | γράμματος πρὸς τὴν σ(εβασμίαν) καὶ ἱερὰν ταύτην τοῦ Βατοπεδ(ίου) μον(ήν), ὥστε ἔχειν (καὶ) νέμεσθαι ταῦτα ἀκωλύτως κ(α)τ(ὰ) λόγ(ον) κληρονομίας κ(αὶ) | γονικότητος, εἰς ἀναφαίρετον πάντη καὶ ἀναπόσπαστον κυριότητα, κ(α)τ(ὰ) τὰς περιλήψεις τῶν προσόντων αὐτοῖς εἰρημένων | δικαιωμάτων· ὡσαύτως ἵνα ἔχωσιν οἱ εἰρημένοι μοναχοί, (καὶ) ἣν ἐγὼ προσεκύρωσα ἑτέραν γῆν ἰδιοπεριόριστον διὰ | γράμματός μου περὶ τ(ὸν) αὐτ(ὸν) τόπον τοῦ Μούδρου, (καὶ) τοὺς καταγεγραμμ(έν)ους ἐν τῶ γράμματί μου παροίκους ὀνομαστί· καὶ λέγω | καὶ διαβεβαιοῦμαι κατασφαλιζόμ(εν)ος δ(ιὰ) τοῦ παρόντος μου ταβουλλαρικοῦ γράμματος ὅτι οὐ

10. *τῇ τοιαύτῃ ἱερᾷ μονῇ.* 12. *τῇ μον(ῇ) ταύτῃ ... ἔτι τε* 13. *τῇ σ(εβασμίᾳ) ταύτῃ μονῇ.* 17. *πάντῃ* 19. *τῷ.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184

μὴ ἀναζητήσω ποτὲ τῶν καιρῶν | ἢ ἐγὼ ἢ τὸ μέρος μου κατά τινα τρόπον τῶν πάντ(ων) ἀποσπάσαι ταῦτα ἢ ὅλα ἢ μέρος τὸ τυχὸν ἀπὸ τῆς τοιαύτ(ης) μον(ῆς), κἂν ἴσως καί τινα πρό|φασιν δοκοῦσαν εὔλογον προβάλωμαι· ἀλλ᾽ ἵνα ὦσι προσκεκυρωμ(έν)α καὶ ἀφιερωμένα τῇ μονῇ εἰς τὸ μόνιμον καὶ διηνεκὲς καὶ | κατεχόμ(εν)α παρὰ τῶν εὑρισκομ(έν)ων ἐν αὐτῇ κ(α)τ(ὰ) διαφόρους καιροὺς μοναχῶν, μέχρις ἂν σὺν Θ(ε)ῷ συνισταμ(έν)η διατελῇ ἡ τοιαύτη | ἱερὰ κ(αὶ) σ(εβασμία) μονή· τούτου γὰρ χάριν ἐγένετό μοι κ(αὶ) ἐπεδόθη κ(αὶ) τὸ παρὸν γράμμα ἐπὶ τῷ προσεῖναι αὐτῇ εἰς μόνιμον καὶ διηνεκῆ | τὴν ἀσφάλειαν κ(α)τ(ὰ) μῆνα Ὀκτώβριον τῆς νῦν τρεχούσης πέμπτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ οε´ ἔτους. |

† Ὁ δοῦλος τοῦ κρατ(αιοῦ) καὶ ἁ(γίου) ἡμῶν αὐθ(έν)τ(ου) καὶ βάσιλέως Μιχαὴλ Ἀστρᾶς † ***ὁ Συναδηνὸς*** † |

† Τὸ παρὸν ἀποδοτικὸν καὶ προσκυρωτικὸν καὶ ἀποκαταστατικὸν γράμμα προτροπῇ τοῦ ἀποδόντος καὶ | ὑπογράψαντος γράψας, ἐπικυρῶν ὑπέγραψα δι᾽ ἀσφάλειαν καὶ βεβαίωσιν | † ***Ὁ πρωτοταβουλλάριος τῆς ἁγιωτ(ά)τ(ης) τοῦ Θ(εο)ῦ μεγάλης ἐκκλησί(ας) διάκονος τοῦ εὐαγοῦς βασιλικοῦ*** | ***κλήρου Θεόδ(ω)ρος ὁ Πεπαγωμένος*** | †

## B

† Τὸ παρ(ὸν) γράμμα ἐμφανισθ(ὲν) ἡμ(ῖν) κ(αὶ) ὁμολογηθ(ὲν) εἶναι τοῦ Ἀστρᾶ τοῦ Συναδηνοῦ, διὰ τὸ ἀδιάβλητ(ον) ὑπεγράψαμ(εν) κ(αὶ) ἡμεῖς βεβαιοῦντες: |

† Ὁ ταπεινὸς μ(ητ)ροπολίτ(ης) Ἐφέσου Θεοδώρητος † |

† Ὁ ταπεινὸς μ(ητ)ροπολίτ(ης) Νικαί(ας) Θεοφάνης † |

† Ὁ ταπεινὸς μ(ητ)ροπολίτ(ης) Βρύσεως Θεοδώρητος † |

ΜΙΧΑΗΛ ΓΟΥΔΑΣ

22. *τῇ μονῇ* 23. *αὐτῇ ... Θ(ε)ῷ ... διατελῇ* 24. *τῷ ... αὐτῇ* 27. *προτροπῇ.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 05:10:50 EEST - 3.143.254.184